ΤΟΥ ΑΓΙΩΤΑΤΟΥ

ΠΑΤΡΟΣ ΗΜΩΝ ΜΑΡΚΟΥ

ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΕΦΕΣΟΥ,

ΤΟΥ ΝΕΟΥ ΘΕΟΛΟΓΟΥ,

ΣΥΛΛΟΓΙΣΤΙΚΑ ΚΕΦΑΛΑΙΑ ΠΡΟΣ ΛΑΤΙΝΟΥΣ.

ΚΕΦΑΛΑΙΟΝ ά.

Τὸ Πνεῦμα τὸ Ἅγιον ἐκ Πατρὸς καὶ Υἱῷ ἐκπορευόμενον, ἢ ὡς ἐκ δύο ὑποσάσεων πρόεισιν, ἢ ὡς ἐκ τῆς κοινῆς αὐτῶν Φύσεως; ἢ ὡς ἐκ τῆς προβλητικῆς δυναμέως. Ἀλλ' εἰμὲν ὡς ἐκ δύο ὑποσάσεων, δύο ἀρχαὶ προδήλως, καὶ δύο τὰ αἴτια ἐπὶ τῆς Θείας Τριάδος, καὶ δύο οἱ προβολεῖς, καὶ ἡ μοναρχία ἀνήρηται, καὶ τὸ μόνην εἶναι πηγὴν τῆς ὑπερθέου Θεότητος τὸν Πατέρα. εἰδ' ὡς ἐκ τῆς κοινῆς αὐτῶν Φύσεως, πρῶτον μὲν ἀδέπω καὶ νῦν ἥκουσαι δυοῖν ὑποσάσεων ἑτέραν ἐκπεφυκυῖαν ὑπόσασιν, μὴ ἐξ αὐτῶν εἶναι λέγειν, ἀλλ' ἐκ τῆς κοινῆς Φύσεως. ἔπειτα καὶ ἔτω πάλιν εἰς τὸ αὐτὸ περιενεχθήσεται.

Ἡ γὰρ ὑπόσασις οὐδὲν ἕτερόν ἐστιν ἢ Φύσις μετὰ τῶν ἰδιωμάτων, ὥστε τὸ ἐκ Φύσεως τινος, ἢ τινῶν, ἢ ἐκ τῆς ὑποσάσεως ἢ τῶν ὑποσάσεων εἶναι ἀνάγκη, πρὸς τῷ μηδ' ἁπλῶς εἶναι τῆς Θείας Φύσεως ἴδιον τὸ προβάλλειν· ἢ γὰρ ἂν καὶ τὸ Πνεῦμα προέβαλεν ἕτερον, ἢ ἑαυτὸ τῆς αὐτῆς κοινωνεῖν Φύσεως. Εἰ δὲ ἐκ τῆς προβλητικῆς δυνάμεως, ζητητέον τὶς αὕτη ἡ προβλητικὴ δύναμις, καὶ ἐ ἑτέρα παρὰ τὴν Φύσιν, ἢ ἡ αὐτή; Εἰμὲν ἓν ἡ αὐτὴ τῇ Φύσει, πάλιν οἱ αὐτοὶ λόγοι τὰς αὐτὰς ἐπιφέροντες ἀτοπίας· εἰδὲ ἑτέρα παρὰ τὴν Φύσιν, ἢ δὴ μὲν συνεχώρησαν ἕτερόν τι τῷ Θεῷ προσεῖναι τῆς αὐτῆ Φύσεως, ὅπερ ἐν ἄλλοις διαλεγόμενοι, μᾶλλον ἂν ἔλοιντο τὰς γλῶσσας προέσθαι, ἢ ὡς ὁμολογέμενον δέξασθαι. Ἔπειτα πῶς ἐκ ἄτοπον ἕτερόν τι παρὰ τὴν Θείαν Φύσιν ἀποτελεσικὸν εἶναι Θείας Φύσεως, εἰτ' ἂν ὑποσάσεως; ἀλλὰ καὶ ἔτω πάλιν τὰς δύο ἀρχὰς ἐκ ἐκφεύξονται. καὶ γὰρ τὸ ἐκ Πατρὸς καὶ Μητρὸς γεννώμενον, ἐκ τῆς γεννητικῆς αὐτῶν δυνάμεως προέισιν, ἢ διὰ τῆς γεννητικῆς αὐτῶν δυνάμεως, ἥτις ἐστὶν αὐτοῖς κοινὴ, κἂν διαφέρῃ τοῖς τρόποις, ἀλλ' οὐδὲν ἧττον ἐκ δύο τέ ἐσιν ὑποσάσεων, καὶ δύο ἀρχὰς ἔχει τῆς ἑαυτῆ γεννήσεως, καὶ ἐκ ἄντις ὅλως ἀρνήσαθαι τῆτο τολμήσειεν, ὥστε τὸ Πνεῦμα τὸ Ἅγιον, εἴπερ ἐκ Πατρὸς καὶ Υἱῷ πρόεισι διὰ τῆς προβλητικῆς δυνάμεως δύο τὰς ἀρχὰς ἔξει τῆς ἑαυτῆ ὑπάρξεως.

„Ἀλλ' ἡ κτίσις Φασὶν ἐκ Πατρὸς καὶ Υἱῷ καὶ „Ἁγίε Πνεύματος ἔσα, διὰ τῆς δημιεργικῆς τε„των δυνάμεως ἐξ ἑνὸς ἐσὶ Θεῷ καὶ Δημιεργῷ, καὶ „μίαν ἀρχὴν τὸν Πατέρα καὶ τὸν Υἱὸν καὶ τὸ Ἅ„γιον Πνεῦμα ἔχει· τὶ ἓν καλύει καὶ τὸ Ἅγιον „Πνεῦμα ἐκ Πατρὸς καὶ Υἱῷ προερχόμενον ὡς ἐξ „ἑνὸς εἶναι Θεῷ καὶ προβολέως, καὶ μίαν ἀρχὴν „ἔχειν τὸν Πατέρα καὶ τὸν Υἱόν;

ΚΕΦΑΛΑΙΟΝ β'.

Ἀπήλαξας ἡμᾶς πραγμάτων ὦ βέλτιξε, τοῖς κτίσμασι συντάξας τὸ Πνεῦμα τὸ Ἅγιον, καὶ πνευματομάχον καθαρῶς σεαυτὸν ἀπέφηνας· εἰ γὰρ τὸν αὐτὸν τρόπον ἤτε κτίσις ἐκ Πατρὸς καὶ Υἱῷ, καὶ Ἁγίε Πνεύματος, καὶ τὸ Πνεῦμα ἐκ Πατρὸς καὶ Υἱῷ, τὶ γὰρ ἄλλο, ἢ κτίσμα τὸ Πνεῦμα τὸ Ἅγιον; Ἀλλ' ἐγώσοι τὸ ἐναντίον ἀναιρέψας εὐσεβῶς ἐρῶ· ὡς ἐπείπερ ἡ κτίσις ἔτως, ὐχ ἔτω τὸ Πνεῦμα τὸ Ἅγιον· τὸ μὲν γὰρ δημιεργικῶς ἐκ δύο καὶ πολλῶν γινόμενον, ἔσιν εἰπεῖν ὡς ἐξ ἑνὸς γεγονέναι πρὸς τὸν δημιεργικὸν ἀφορῶντας λόγον, ἐ μόνον ἐπὶ τῆς Θείας δημιεργίας, καθ' ἣν μία καὶ ἡ αὐτὴ Βελὴ, καὶ Θέλησις, καὶ Σοφία, καὶ Δύναμις, καὶ Ἐνέργεια. ἀλλὰ καὶ ἐπὶ τῆς ἀνθρωπίνης, καὶ καθ' ἡμᾶς. εἷς γὰρ καὶ ὁ αὐτὸς ἐν διαφόροις τεχνίταις ὁ τεχνικὸς λόγος, καὶ οἱ τεχνίται ἓν εἰσὶ πάντες, καὶ κατὰ τῆτο τὸ ἐκ πολλῶν γενόμενον, ἐξ ἑνὸς ἔσιν εἰπεῖν γεγονέναι, καὶ μίαν ἀρχὴν ἔχειν. τὸ δὲ Φυσικῶς ἐκ δύο τὴν ὕπαρξιν ἔχον, ἐκ ἄντις ὅλως ἐξ ἑνὸς εἴποι ποτέ. καὶ γὰρ ἀδύνατον τὸν αὐτὸν τρόπον ἑκάτερον εἰς τὸ εἶναι συμβάλλειν. καὶ αὐτοὶ δὲ Λατῖνοι λέγεσι διάφορον εἶναι τὴν ἐκ Πατρὸς τῷ Πνεύματος πρόοδον τῆς ἐκ τῷ Υἱῷ, καὶ τὴν μὲν ἄμεσον εἶναι, τὴν δὲ ἔμμεσον. ὥστε ἐκ ἂν ἐκφύγοιεν ἀδαμῶς τὰς δύο Ἀρχὰς, εἰμὴ μέλλοιεν ἑτέροις πλείοσιν ἀτόποις πεσεῖσθαι.

ΚΕΦΑΛΑΙΟΝ γ'.

Καὶ τὶ κωλύει Φασὶ δύο μὲν εἶναι τὰς Ἀρχὰς, „τὴν μέντοι ἑτέραν αὐτῶν ὑπὸ τὴν ἑτέραν, „ὥστε καὶ ἔτω μίαν εἶναι τὰς δύο; τῆτο δέπω καὶ „ὁ Θεολόγος Γρηγόριος εὑρηται λέγων, ἡ ἐκ τῆς „ἀρχῆς ἀρχή.

Εἰ ἔτω τὰς Ἀρχὰς λέγεις, ὡς τὴν μὲν ἔγγιον εἶναι, τὴν δὲ πορρώτερον, ἐκ οἶδ' εἰ μᾶλλον οἷόν τε μίαν διὰ τὸ ὑπάλληλον εἶναι, ἢ καὶ μάλα δύο, διότι καὶ μάλα διάφοροι· σκόπει δὲ ἑκατέρα τέτων μᾶλλ' Ἀρχὴ τῆς Ἑτέρας καὶ ἧτον, πῇ μὲν μᾶλλον, πῇ δὲ ἧτον. ἡ μὲν ἔγγιον μᾶλλον Ἀρχὴ διὰ τὸ ἔγγιον εἶναι, ἡ δὲ πορρώτερον μᾶλλον διὰ τὸ περιέχειν τὸ ἔγγιον. εἰ ἓν ἔτω διαφέρει, πᾶς ἔσονται μία; τὶς δ' ἂν εἴπῃ τὸν Ἀδὰμ καὶ τὸν Σὴθ μίαν Ἀρχὴν τῷ Ἐνὼς εἶναι; καίτοιγε ἑκάτερος τέτων Ἀρχὴ, ἡ μὲν ἔγγιον, ἡ δὲ πορρωτέρω; πῶς ἓν αὖται μίαν; πῶς δὲ καὶ ἀνεκτὰ βλασφημεῖσι, καὶ ἔτω τιθέντες τὸ Πνεῦμα πόρρω τῆς Πατρικῆς ὑποσάσεως, καὶ οἷον υἱωνὸν αὐτὸ λέγοντες; καίτοιγε τὸ ἐκ τῷ Πατρὸς ἐκπορευόμενον εὑρηται, καὶ Πνεῦμα τὸ ἐκ τῆς πατρικῆς ἐκπορευόμενον ὑποσάσεως. Ἀλλ' ὅπερ ὁ Θεολόγος εἰρηκε, πρὸς τὰ κτίσματα βλέπων εἰρηκε τῆτο· καθάπερ ἂν εἰ εἶπε, Δημιεργὸν ἐκ Δημιεργῷ, ὥσπερ καὶ Φῶς ἐκ Φωτὸς, καὶ Θεὸν ἐκ Θεῷ, καὶ ἀγαθὸν ἐξ ἀγαθῷ· ἅπερ ἅπαντα μετὰ τῷ Πατρὸς ὄντα, ἓς ἐσὶ Θεὸς μετ' αὐτῷ, καὶ ἓν Φῶς, καὶ ἀγαθὸς εἷς, καὶ Ἀρχὴ μία τῶν γεγονότων ἁπάντων. „πάν„τα γὰρ φησὶ δι' αὐτῷ ἐγένετο, καὶ χωρὶς αὐτῷ „ἐγένετο οὐδὲ ἓν ὃ γέγονεν. ἐκ ἐξ αὐτῷ δήπεθεν ὄν, ὅτε δι' αὐτῷ, τῆτο δ' ἐσὶ τὸ Πνεῦμα τὸ Ἅγιον. ὅτι δὲ ἔτως ἔχει τὸ εἰρημένον ὑπὸ τῷ Θεολόγῳ, δῆλον ἐξ ὧν ἐν ἑτέροις φησὶν, Ἄναρχον καὶ Ἀρχὴν, καὶ τὸ μετὰ τῆς ἀρχῆς εἰς Θεός. ἐκ εἶπε τὸ ἐκ τῆς ἀρχῆς, ἀλλὰ τὸ μετὰ τῆς ἀρχῆς, ἐκ τῷ Ἀνάρχε δηλαδὴ πρεσῶν. Καίτοιγε εἰ ὅλως ἐφρόνει τῷ Πνεύματος ἀρχὴν τὸν Υἱὸν, πῷ ἂν μᾶλλον εἴρηκε τῆτο βεβαιότατοι πάντων ἀνθρώπων; Ἀλλ' ἐθ' ἕτος, ἐθ' ἕτερος τῶν καθ' ἡμᾶς Θεολόγων τῆτο φρονῶν φαίνεται, κἂν ὑμεῖς σοφιζόμενοι, πάντα τὸν χρόνον καταναλώσητε.

Πνεῦμα φησὶν ὁ Νυσσαεὺς Θεολόγος, τὸ τῆς Πατρικῆς ἐκπορευόμενον ὑποσάσεως. Εἰ δὲ τὸ αὐτὸ καὶ τῆς τῷ Υἱῷ ὑποσάσεως ἐκπορεύεται, τὶ ἄλλο, ἢ ἐκ δύο ἐκπορεύεται ὑποσάσεων; τὸ δ' ἐκ δύο ὑποσάσεων ἐκπορευόμενον, τίγ' ἄλλο ἢ δύο καὶ ἀρχὰς ἔχει τῆς ἑαυτῷ ὑπάρξεως; ἐκ ἄρα Λατῖνοι

τὴν διαρχίαν ἐκφεύξονται, μέχρις ἂν καὶ ἐκ τοῦ Υἱοῦ τὸ Πνεῦμα τὸ Ἅγιον εἶναι λέγωσιν.

Εἰ ὥσπερ ἐκ τοῦ Πατρὸς ὁ Υἱὸς ἔτω καὶ τὸ Πνεῦμα ἐκ τοῦ Πατρὸς, διατὶ μὴ καὶ τὸ Πνεῦμα Υἱός; ὅτι διαφέρει τῷ τῆς ὑπάρξεως τρόπῳ κατὰ τοὺς Θεολόγους, καὶ ἐχ υἱικῶς τὸ Πνεῦμα ἐκ τοῦ Πατρὸς, ἁδὲ γεννητῶς προεισιν.

Εἰ τοίνυν μή ἐστι τὸ Πνεῦμα ἐκ τοῦ Πατρὸς προϊὸν τίνα ταύτης διάκρισιν ἀκριβεστέραν ζητήσομεν τοῦ Υἱοῦ καὶ τοῦ Πνεύματος, πρὸς δὲ τὸν Πατέρα καὶ πρὸς ἀλλήλες; εἰ γὰρ τῷ αὐτῷ τὸ μὲν Υἱὸς, τὸ δὲ ἐχ Υἱὸς, ἀλλ' ἄλλο τι, δῆλον ὅτι πρὸς μὲν τὸν Πατέρα τῷ τῆς χέσεως διακρίνονται λόγῳ, καὶ ὡς αἰτιατὰ πρὸς αἴτιον ἔχεσι, πρὸς ἄλληλα δὲ τῇ κατὰ τὴν ἀντίφασιν ἀντιθέσει. τὸν γὰρ Υἱὸν εἶναι τοῦ μὴ Υἱὸν εἶναι δῆλον ὡς ἀντιφατικῶς ἀντίκειται, ἐκ ἄρα καὶ ἐπὶ τούτων Υἱὸ λέγω καὶ Πνεύματος ἀναγκαία ἡ κατὰ τὴν χέσιν ἀντίθεσις πρὸς διάκρισιν. ἔπερ καὶ διὰ τῆς ἀντιφατικῆς ἀντιθέσεως δύνανται διακρίνεθαι.

ΚΕΦΑΛΑΙΟΝ δ'.

Οἱ Λατῖνοι μὴ θέλοντες ἔπεθαι ταῖς κοινῇ παρὰ πᾶσιν ὁμολογεμέναις τῆς Θεολογίας Ἀρχαῖς, ἀλλ' ἑτέρας ἐπινοῦντες αὐτοὶ πρὸς τὴν ἰδίαν ὑπόθεσιν συντεινέσας, ἃ καθάπερ ἡμεῖς διαιρῦσι τὰ τῷ Θεῷ προσόντα, τὰ μὲν κοινὰ λέγοντες εἶναι, τὰ δὲ ἴδια τῶν Θεαρχικῶν προσώπων. Ἀλλ' ἕτερόν τινα καινότερον τρόπον, τὰ μὲν ἴδια φασὶν εἶναι, τὰ δὲ κοινὰ, τὰ δὲ κοινότατα. τὰ μὲν ἑνὶ προσώπῳ προσόντα λέγοντες ἴδια, τὰ δὲ δυσὶ κοινὰ, τὰ δὲ ὁμῦ τοῖς τρισὶ κοινότατα. ὅτι μὲν ἓν ἀσυνήθη ταῦτα, καὶ τοῖς Λατίνοις συνήθως κεκαινοτόμηται, δῆλον ἐξ αὐτῶν τῶν φωνῶν. Ἀλλ' ἴδωμεν καὶ τίνα ἐστὶν ἃ φασὶν εἶναι κοινὰ, καὶ ἐχὶ κοινότατα. τῷ μὲν Υἱῷ καὶ τῷ Πνεύματι λέγουσιν εἶναι κοινὸν τὸ ἐκ τοῦ Πατρὸς εἶναι, δηλαδὴ τὸ αἰτιατὸν, καὶ δὴ καὶ τὸ πέμπεθαι παρ' αὐτοῦ, καὶ ὅσα τούτοις ὁμόσοιχα. τῷ δὲ Πατρὶ καὶ Υἱῷ τὸ πέμπειν τὸ Πνεῦμα, καὶ προχεῖν, καὶ πηγάζειν, καὶ ἔτι τοιοῦτον, οἷς ταὐτὸν εἶναί λέγουσι, καὶ αὐτὸ τὸ προβάλλειν ἀσιωδῶς τὸ Πνεῦμα.

Σκεπτέον ἓν ἄνωθεν· εἰ τὸ μὲν αἰτιατὸν ἄλλο τί παρὰ τὸ γεννητὸν καὶ ἐκπορευτὸν ἐδήλε περὶ Θεοῦ λεγόμενον, εἶχεν ἂν χώραν, κοινὸν τοῖς δυσὶ τοῦτο λέγειν. εἰδ' ἐκ ἔστιν ἐδ' ἐπινοίᾳ λαβεῖν, τὸ αἰτιατὸν ἐφ' ἑκατέρᾳ τούτων ἄνευ τοῦ τρόπε· τὸ μὲν γάρ ἐστιν αἰτιατὸν γεννητῶς, τὸ δὲ ἐκπορευτῶς· φωνὴ μέν ἐστι μία τὸ αἰτιατὸν, πράγματα δὲ δύο, τὸ γεννητόντε, καὶ ἐκπορευτόν· αὐτὰ δὲ ταῦτα καὶ ἴδια λέγομεν ἑκατέρων τούτων, ἐκ ἄρα τὶ κοινὸν ἄλλο τοῖς δυσὶν ὑπάρχει πρὸς τὸν Πατέρα παρὰ τὰ ἴδια τούτων, ἅπερ αὐτὰ καὶ τοῦ Πατρὸς διακρίνεσι καὶ ἀλλήλων τό, τε δὴ πέμπεθαι, καὶ ἔτι τοιοῦτον. μαλίστα μὲν τὴν εὐδοκείαν δηλοῖ, κατὰ τὸν Θεολόγον Γρηγόριον, καὶ τὸ πρὸς τὴν πρώτην αἰτίαν τὰ τῶν ἐξ αὐτῆς ἀναφέρεθαι πάντα, καὶ ἵνα μὴ δοκῶσιν ἀντίθεοι. Ἔπειτα καὶ χρονικὸν ὂν, καὶ ποτὲ, καὶ πρός τι γινόμενον, ἐκ ἂν εἰκότως προσλογίζοιτο τοῖς Θείοις ἰδιώμασιν, ἀνάρχοις τε καὶ ἀϊδίοις ὀφείλεσιν εἶναι· τὰ δ' αὐτὰ ταῦτα καὶ περὶ τοῦ πέμπειν ἐρῶμεν, ὅτι καὶ αὐτὸ χρονικὸν ὂν, καὶ ποτὲ, καὶ πρός τι, καὶ διατὶ γινόμενον, ἐκ ἂν εὐλόγως ὡς ἴδιον τῷ Πατρὶ καὶ τῷ Υἱῷ πρὸς τὸ Πνεῦμα δοθείη, πολλῷγε δεῖ ταὐτὸν εἶναι τῇ ἀναρχῳ καὶ ἀναιτίῳ προόδῳ τοῦ Πνεύματος.

Ἔπειτ' ἐδὲ τὸ Πνεῦμα τοῦ πέμπειν ἀφήρηται, καὶ δῆλον ἐξ ὧν ὁ Προφήτης φησὶν ἐκ προσώπε τοῦ Υἱοῦ λέγων. „Κύριος ἀπέσαλκέμε, καὶ τὸ Πνεῦμα αὐτοῦ. Εἰδὲ ὡς ἄνθρωπος ἀπεσάλθαι παρὰ τοῦ Πνεύματος λέγεται, πόθεν δῆλον; ἢ δεῖξον, ἢ μὴ κατασοφίζε· καίτοιγε ὁ Θεῖος Χρυσόστομος ἐν τῷ περὶ τοῦ Ἁγίε Πνεύματος λόγῳ, παρὰ τοῦ Πατρὸς εἰρημένον τοῦτο δείκνυσιν ἐξ αὐτῶν τῶν τῆς Ἡσαΐε Προφητείας ῥημάτων, καὶ τοῦτον ἀπεσάλθαι παρὰ τοῦ Υἱοῦ καὶ Πνεύματος διατείνεται. κοινότατον ἄρα τὸ πέμπειν, καὶ ἐχὶ κοινὸν ὡς δοκεῖ τοῖς Λατίνοις. εἰδ' ἄρα τὰ προβάλλειν ἀϊδίως τὸ Πνεῦμα κοινόν ἐστι Πατρὶ καὶ Υἱῷ, πρὸς δὲ τούτοις τῷ μὲν Υἱῷ καὶ τῷ Πνεύματι θαυμαστὸν ἐδὲν, εἴτι κοινὸν ὑπάρχει πρὸς τὸν Πατέρα· ὁ μὲν γὰρ ἐκ ἀρχὴ μόνον, ἀλλὰ καὶ Ἄναρχος καὶ ἀναίτιος· οἱ δ' ἀρχὴν ἔχσι τὸν Πατέρα καὶ ἄμφω, τῷ δὲ Πατρὶ καὶ Υἱῷ πόθεν κοινόν τι δώσομεν, ὃ μὴ καὶ τῷ Πνεύματι πρόσεσιν; ὁ γὰρ ἐφῆσι τοῦτο Διονύσιος ὁ μέγας διαπρύσιον κεκραγώς. „τὰ κοινὰ Πατρὶ ἢ Υἱῷ, ἢ τῷ Ἁγίῳ Πνεύ„ματι κοινωνικῶς καὶ ἑνωμένως ὁ Θεαρχικὸς ἀνα„τίθησι Λόγος. Καὶ ὁ Θεολόγος Γρηγόριος· „πάντα ὅσα ὁ Πατὴρ τῷ Υἱῷ, πλὴν τῆς αἰ„τίας. πάντα ὅσα ὁ Υἱὸς τοῦ Πνεύματος, πλὴν „τῆς γεννήσεως.

ΚΕΦΑΛΑΙΟΝ έ.

Ἔτι περὶ τῆς ἀποσολῆς ἀκριβέσερον ἐπισκεπτέον. ἔγνωσαν μὲν ὁ Πατὴρ ἐν τῇ Παλαιᾷ Διαθήκῃ, ἔδει δὲ καὶ τὸν Υἱὸν γνωθεῖναι ἐν τῇ Καινῇ. τοῦτο ἔν ἐστι τὸ τοῦ Υἱοῦ ἐπισάλθαι, τὸ οἱονεὶ πεφανερῶθαι παρὰ τοῦ Πατρὸς εἰς τὸν κόσμον. πάλιν τοῦ Υἱοῦ γνωθέντος, ἔδει γνωθῆναι καὶ τὸ Πνεῦμα τὸ Ἅγιον. διὰ τοῦτο παρὰ Πατρὸς καὶ Υἱοῦ τῶν ἤδη προεγνωσμένων ἀποστάλθαι λέγεται, τουτέστι πεφανερῶθαι. τὶς γὰρ ἑτέρα πέμψις καὶ ἀποσολὴ Θεοῦ, τῷ πανταχοῦ παρόντος, καὶ μηδαμοῦ μεταβαίνοντος; „διὰ τοῦτο φη„σὶν, ἐὰν πορευθῶ πέμψω αὐτὸν πρὸς ὑμᾶς. τοῦτο δὲ ἐ τὴν ἀΐδιον πρόοδον δηλοῖ πάντως. εἰ γὰρ τοῦτο λέγει, ὅτι ἐὰν ἐγὼ μὴ ἀπέλθω ἐ προβάλλω τὸν Παράκλητον, ἐὰν δὲ πορευθῶ τότε προβαλῶ, ἀλλ' ὅτι ἐὰν αὐτὸς ἐξ ὀφθαλμῶν ὑμῶν γένωμαι, τὴν ἐκεῖνε χάριν καὶ δύναμιν ὑμῖν φανερώσω.

ΚΕΦΑΛΑΙΟΝ ς'.

Ἔτι καὶ τὸ μεταβαίνειν Θεοῦ ἀλλότριον. σωμάτων γὰρ ἴδιον· εἰ μὲν περὶ τοῦ Υἱοῦ τὸ πέμπεθαι λέγεται τὴν σωματικὴν αὐτοῦ παρεσίαν εἰς τὸν κόσμον δηλοῖ. „ἐξαπέσειλε γάρ φησιν ὁ Θεὸς „τὸν Υἱὸν αὐτοῦ εἰς τὸν κόσμον γεννόμενον ἐκ γυ„ναικός. εἰ δὲ περὶ τοῦ Ἁγίε Πνεύματος, τὴν χάριν αὐτοῦ μηνύει ἢ τὴν ἐνέργειαν, ἐκ αὐτὴν τὴν ὑπόσασιν, ὅτι καὶ διαφέρουσα ἐκείνης αὕτη, μάρτυς ὁ Θεῖος Χρυσόστομος, ἐν ταῖς κατὰ Ἰωάννην ὁμιλίαις ἔτω λέγων. „τοῦ Πνεύματος τὴν χάριν ἡ „Γραφὴ, ποτὲ μὲν πῦρ, ποτὲ δὲ ὕδωρ καλεῖ· „δεικνῦσα ὅτι ἐκ ἐσίας ἐστὶ ταῦτα τὰ ἐνόματα, „ἀλλ' ἐνεργείας· καὶ πάλιν· Πνεῦμα ἐνταῦθα τὴν ἐνέργειαν λέγει· αὕτη γάρ ἐστιν ἡ μεριζομένη· αὕτη τοιγαροῦν καὶ ἡ πεμπομένη· πέμπεται δὲ παρὰ Πατρὸς δι' Υἱοῦ ἐν Ἁγίῳ Πνεύματι, κοινὴ τῆς Τριάδος ἔσα, μᾶλλον μία καὶ ἡ αὐτή. ἐδὲν ἄρα τῷ Πατρὶ καὶ τῷ Υἱῷ κοινὸν πρόσεσιν, οπερ μὴ καὶ τῷ Πνεύματι· καθὰ καὶ Διονύσιος ὁ κλεινὸς ἀποφαίνεται. Πνεῦμα φησὶν ὁ Νυσσαεὺς Θεολόγος τὸ τῆς Πατρικῆς ἐκπορευόμενον ὑποσάσεως· τίνι δῆλον ἐκ ἔστιν ἐντεῦθεν, ὅτι τὸ προβάλλειν τὸ Πνεῦμα, τοῦ Πατρὸς ἐστὶν ὑποσατικὸν, ἐ τῶν προσωπικῶν ἰδίωμα; καθάπερ γὰρ τὴν τοῦ μονογενοῦς ὑπόσασιν σαρκωθῆναι λέγοντες, ἀκοινώνητον τοῦτο τῷ Πατρὶ καὶ Πνεύματι δείκνυμεν, ἕτω καὶ τὴν τοῦ Πατρὸς ὑπόσασιν τὸ Πνεῦμα προβάλλειν εἰρηκότες τὸ Ἅγιον, ἐκ ἔτι ἂν εἰκότως καὶ τῷ Υἱῷ τοῦτο δοίημεν· ἢ τοίνυν Λατῖνοι δειξάτωσαν τινὰ τῶν Θεολόγων καὶ ἐκ τῆς τοῦ Υἱοῦ ὑποσάσεως τοῦτο λέγοντα, ἢ καθαρῶς ἐντεῦθεν ἐκ μόνε τοῦ Πατρὸς ἐκπορεύεθαι τὸ Πνεῦμα τὸ Ἅγιον ἀναφαίνεται.

Οἱ Λατῖνοι τὸ τρίτον εἶναι μετὰ Πατέρα καὶ Υἱὸν τὸ Πνεῦμα τὸ Ἅγιον ὡς ὁμολογέμενον ἔχοντες, ἐκ τῆς τάξεως ταύτης οἴονται δείκνυθαι καὶ αὐτοῦ τοῦ Υἱοῦ τὸ Πνεῦμα τὸ Ἅγιον ἐκπορεύεθαι· εἰ γὰρ μὴ τάξιν ἔχε φασὶ καὶ πρὸς τὸν Υἱὸν κατὰ τὴν πρὸς αὐτὸν χέσιν, ἐκ ἂν ἐλέγετο τρίτον, ἀδ' ἑξῆς μετ' αὐτόν.

Ἀλλ' ὦ γενναῖοι φαίη ἄντις πρὸς αὐτὲς, εἰ μετὰ τὸν Πατέρα δεύτερος ὁ Υἱὸς, τοῦτο γὰρ ἡ χέσις ἀπαιτεῖ, καὶ ἐκ ἂν ἄλλοτι μεταξὺ παρεμπέσοι, τὶ ἃ ἄλλο εἴη τὸ Πνεῦμα τὸ Ἅγιον, ἢ τρίτον; πρῶτον μὲν γὰρ ἐκ ἂν εἴη δήπεθεν, δεύτερος δὲ ὁ Υἱὸς ἐξ ἀνάγκης, τρίτον ἄρα τὸ Πνεῦμα τὸ Ἅγιον· ἔπερ ἐστὶ συμπληρωτικὸν τῆς μακαρίας Τριάδος ἐκείνης· διὰ τοῦτο δὲ καὶ ἡ τάξις οἶμαι τοῖς Θεολόγοις παρείληπται, ἵνα μὴ Υἱὸς νομισθῆ μετὰ τὸν Πατέρα ταττόμενον· ἄλλως γὰρ καὶ ἀναιρῦσι τὴν τάξιν· ἐκ ἔχει γὰρ φασὶ τάξιν ἡ Ἁγία Τριὰς, ἐχ ὡς ἄτακτος, ἀλλ' ὡς ὑπὲρ τάξιν, καὶ αὖθις τὰ αὐτὰ καὶ προαριθμῆνται, καὶ συναριθμῆνται, καὶ ὑπεραριθμῆνται. τὶ ἓν ἡμῖν ἡ τάξις συντελεῖ πρὸς τὴν ἡμετέραν ὑπόθεσιν, εἰ μὴ πᾶν τὸ ἐχόμενον τινὸς κατὰ τάξιν, καὶ ἐξ αὐτοῦ τὸ εἶναι ἔχειν ἀνάγκη; Φέρε δὴ καὶ τὸν μέγαν ἡμῶν προθῶμεν Βασίλειον, ἵνα ἴδωμεν οἷα περὶ τοῦ προκειμένε φθέγγεται. „ἐπειδὴ φησὶ τὸ Πνεῦμα „ἀφ' ἧ πᾶσα ἐπὶ τὴν κλῖσιν ἡ τῶν ἀγαθῶν χορη„γία πηγάζει, τῷ Υἱῷ μὲν ἤρτηται, ὡ ἀδιασά„τως συγκαταλαμβάνεται, τῆς δὲ τοῦ Πατρὸς „αἰτίας ἐξημμένον ἔχει τὸ εἶναι, ὅθεν καὶ ἐκπο„ρεύεται. τοῦτο γνωρισικὸν τῆς κατὰ τὴν ὑπίσα„σιν ἰδιότητος σημεῖον ἔχει, τὸ μετὰ τὸν Υἱὸν καὶ „σὺν αὐτῷ γνωρίζεθαι, καὶ ἐκ τοῦ Πατρὸς ὑφε„σάναι. Ἀκέεις τοῦ ἐρανοφάντορος οἷα λέγει; τοῦ Υἱοῦ φησὶν ἤρτηται τουτέσιν ἔχεται, ἐχ ὅτι ἐξ

αὐτῦ ἐκπορεύεται, ἀλλ' ὅτι σὺν αὐτῷ ἀδιαιρέτως ἐν τῷ Πατρὸς τὸ εἶναι ἔχον καταλαμβάνεται, „τῆς τῦ μονογενοῦς μεσιτείας ὁ φησὶν ὁ ἀδελφὸς „αὐτῦ Γρηγόριος ὁ τῆς Νύσσης, καὶ ἑαυτῷ τὸ μο„νογενὲς φυλατ[illegible]σης, καὶ τὸ Πνεῦμα τῆς φυσι„κῆς πρὸς τὸν Πατέρα σχέσεως μὴ ἀπαλλοτριώ„σης· καὶ πάλιν γνωρισικὸν σημεῖον ἔχει φησὶ τὸ, μετὰ τὸν Υἱὸν καὶ σὺν αὐτῷ γνωρίζεσθαι, καὶ „τῷ Πατρὸς ὑφεσάναι· τούτων τί ἂν γένοιτο λευκότερον, ἢ σαφέστερον, ἢ πρὸς τὴν ἡμετέραν δόξαν ὁμοφωνότερον;

ΚΕΦΑΛΑΙΟΝ ζ'.

Πολύτι δοκεῖ συμβάλλεσθαι τοῖς Λατίνοις πρὸς τὴν οἰκείαν ὑπόθεσιν τὸ λέγεσθαι τῷ Υἱῷ τὸ Πνεῦμα τὸ Ἅγιον· ἐγὼ δὲ προσθήσω τοῦτο, καὶ ὅτι ἴδιον τῷ Υἱῷ, καὶ ἐκ ἀλλότριον τῷ Υἱῷ, καὶ ὅσα τούτοις ὅμοια. ἆρα ἓν διὰ ταῦτα καὶ ἐξ αὐτῷ ἐκπορεύεται; Ἀλλ' ἐκ ἐάσει τοῦτο, πρῶτον μὲν Θεοδώρητος, βλάσφημόν τε καὶ δυσσεβῆ τὴν τοιαύτην δόξαν ἡγάμενος, ἔπειτα καὶ αὐτὸς ὁ Θειότατος Κύριλλος ἐν οἷς φησὶ, „κατ' ἐδένα τρόπον „σαλεύεσθαι ἀνεχόμεθα τὴν ὁριθεῖσαν παρὰ τῶν „Πατέρων Πίστιν, ἤτοι τὸ τῆς Πίστεως Σύμβολον, „ἔτε μὴν ἐπιτρέπομεν ἑαυτοῖς ἢ ἑτέροις λέξιν γᾶν „μίαν ἀμεῖψαι τῶν ἐγκειμένων ἐκεῖσε. ἐ γὰρ ἦ„σαν αὐτοὶ οἱ λαλῆντες, ἀλλὰ τὸ Πνεῦμα τὸ Ἅ„γιον, ὃ ἐκπορεύεται μὲν ἐκ τῦ Θεῦ καὶ Πατρὸς, „ἔστι δὲ ἐκ ἀλλότριον τῦ Υἱῦ κατὰ τὸν τῆς ἰσίας „λόγον. Ἀκέεις κατὰ τίνα λόγον τῷ Υἱῷ τὸ Πνεῦμα λέγεται, καὶ ἴδιον αὐτῦ, καὶ ἐκ ἀλλότριον; κατὰ τὸν τῆς ἰσίας λόγον, ὡς ὁμοούσιον αὐτῷ δηλονότι. λέγει δὲ καὶ ὁ μέγας Βασίλειος ἐν τῷ, ιή. „τῶν πρὸς Ἀμφιλόχιον, Πνεῦμα Χρι„στῦ λέγεται, ὡς ᾠκειωμένε κατὰ φύσιν αὐτῷ· τίνα τοίνυν ἐξηγητὴν ἔτι βελτίονα τῶν Ἀποστολικῶν τε καὶ τῶν ἰδίων ῥημάτων δεξόμεθα, παρὰ τὰς Θείας ταύτας Διδασκάλες;

ΚΕΦΑΛΑΙΟΝ ή.

Τὸ δὲ ἐμφυσήματος παρὰ τῦ Κυρίε δίδοσθαι τὸ Πνεῦμα τοῖς Μαθηταῖς μετὰ τὴν Ἀνάστασιν, σύμβολον οἱ Λατῖνοι ποιῦνται, τῷ καὶ ἐξ αὐτῷ τὸ Πνεῦμα τὸ Ἅγιον ἐκπορεύεσθαι. ὅτι μὲν ἓν ἐχ' ἡ ἰσία τῷ Πνεύματος ἦν ἡ διδομένη τότε δι' ἐμφυσήματος δῆλον μὲν ἐξ ὧν ἐδέπω τότε τὸ Πνεῦμα τὸ Ἅγιον παραγέγονεν. „ἐὰν γὰρ ἐγὼ μὴ ἀπέλθω, „φησὶν, ὁ Παράκλητος ἐκ ἐλεύσεται πρὸς ὑμᾶς. μαρτυρεῖ δὲ καὶ ὁ Θεῖος Χρυσόστομος ἐν τοῖς κατὰ Ἰωάννην ἐξηγητικοῖς ἔτω λέγων. „τινὲς μὲν „φασὶν, ὅτι ἐ τὸ Πνεῦμα ἔδωκεν, ἀλλ' ἐπιτηδείως „αὐτὸς πρὸς ὑποδοχὴν διὰ τῦ ἐμφυσήματος κα„τεσκέυασεν· ἐκ ἂν δέ τις ἁμάρτοι καὶ τότε εἰ„ληφέναι αὐτὸς λέγων, ἐξουσίαν τινὰ πνευματι„κὴν, καὶ χάριν, ὥσε ἀφιέναι ἁμαρτήματα. διὸ „ἐπήγαγεν, ὧν ἀφῆτε, ἀφέωνται. δεικνὺς ποῖον „εἶδος ἐνεργείας δίδωσιν· καὶ γὰρ ἅφατος ἡ τῦ „Πνεύματος χάρις, καὶ πολυειδὴς ἡ δωρεὰ, καὶ „ἐδὲν θαυμαστὸν, ὅπερ γε καὶ παρὰ Μωσέως ὁ „Θεὸς τῦ Πνεύματος ἀφελὼν, ἑτέροις μετέδωκεν. „Ἐν δὲ τῷ Δεσπότῃ Χριστῷ πᾶσα ἡ τῦ Πνεύματος „χάρις ἐπανεπαύσατο. ἐ γὰρ ἐκ μέτρε δίδωσιν „ὁ Θεὸς ἐκείνῳ τὸ Πνεῦμα. διὸ καὶ ἐξ αὐτῆς με„τεδίδε, καὶ δι' αὐτῆς τῆς θεοσημείας ἐργάζε„το. Ἐν γὰρ Πνεύματι Θεῦ φησὶν ἐκβάλλω ἐγὼ „τὰ δαιμόνια.

ΚΕΦΑΛΑΙΟΝ θ'.

Πάλιν τὸ εἰκόνα λέγεσθαι τῷ Υἱῷ τὸ Πνεῦμα, εἰς συνηγορίαν ἕλκυσι τῷ οἰκείε δόγματος· λέγωμεν δὲ καὶ πρὸς τοῦτο, ὡς ἐ πάντως ἀνάγκη τὴν εἰκόνα τὸ εἰκονιζόμενον αἴτιον ἔχειν, ἔτε ἐπὶ τῆς τέχνης, ἔτε ἐπὶ τῆς Φύσεως· καὶ γὰρ ὁ Υἱὸς εἰκὼν τῦ Πατρὸς λέγεται, ἐ τοσῦτον πρὸς αὐτὸν κατ' αἰτίαν ἀναφερόμενος, ὅσον ὡς ἐν ἑαυτῷ τὸν Πατέρα δεικνὺς, καὶ εἰκονίζων, ὥσπε φησὶ πρὸς τὸν Φίλιππον· „ὁ ἑωρακὼς ἐμὲ, ἑώρακε τὸν Πα„τέρα· εἰκὼν τοίνυν καὶ τῷ Υἱῷ τὸ Πνεῦμα τὸ Ἅγιον, ἐχ ὡς αἴτιον αὐτῷ ὄντος, ἀλλ' ὅτι μὴ οἷόντε γνῶναι τὸν Υἱὸν ἑκατέρωθεν, εἰμὴ διὰ τῦ Ἁγίε Πνεύματος· „ἐδεὶς γὰρ δύναται εἰπεῖν Κύ„ριον Ἰησῦν, εἰμὴ ἐν Πνεύματι Ἁγίῳ· καὶ αὖθις, „ἐκεῖνος ἐμὲ δοξάσει ὅτι ἐκ τῦ ἐμῦ λήψεται, καὶ „ἀναγγελεῖ ὑμῖν· ὅπερ ὁ Θεῖος Χρυσόστομος ἐξη„γέμενος, τουτέστι φησὶ συνῳδὰ τοῖς ἐμοῖς ἐρεῖ· „ἐπεὶ γὰρ ἐμά ἐστι τὰ τῦ Πατρὸς, ἐκεῖνος δὲ ἐκ „τῶν τῦ Πατρὸς ἐρεῖ, ἐκ τῶν ἐμῶν ἐρεῖ· καθάπερ γὰρ ὁ Υἱὸς ἐλθὼν εἰς τὸ πληρῶσαι τὸν πα„λαιὸν νόμον, τουτέστι τελειῶσαι, καὶ προσθῆναι τὰ παραλελειμμένα διὰ τὴν τῶν ἀκουόντων ἀσθένειαν αὐτῷ

αὐτῷ τότῳ τὸν Πατέρα ἐδόξασε, τὸν τὸν νόμον ἐκεῖνον θέμενον· „ἐγὼ γάρ σε φησὶν ἐδόξασα ἐπὶ „τῆς γῆς, τὸ ἔργον ἐτελείωσα, ὃ δέδακάς μοι ἵνα „ποιήσω· ἔτω καὶ τὸ Πνεῦμα τὸ Ἅγιον, τὸ τῷ „Υἱῷ ἔργον ἐτελείωσεν αὖθις· πολλὰ γὰρ φησὶν „ἔχω λέγειν ὑμῖν, ἀλλ' ἐ δύναθαι βασάζειν ἄρ„τι· ὅταν δὲ ἔλθῃ ἐκεῖνος, τὸ Πνεῦμα τῆς ἀλη„θείας, ὁδηγήσει ὑμᾶς εἰς πᾶσαν τὴν ἀλήθειαν· „ἐ γὰρ λαλήσει ἀφ' ἑαυτῷ, ἀλλ' ὅσα ἂν ἀκέσῃ „λαλήσει, καὶ τὰ ἐρχόμενα ἀναγγελεῖ ὑμῖν· „ἐκεῖνος ἐμὲ δοξάσει, ὅτι ἐκ τῦ ἐμῦ λήψεται, καὶ „ἀναγγελεῖ ὑμῖν, τὰ λειπόμενα δηλονότι· ὃ ἔργον ταύτον ἐστὶ τῷ τῦ Πατρός· πάντα γὰρ ὅσα ἔχει ὁ Πατὴρ ἐμά ἐστί· διὰ τοῦτο ἆρα καὶ εἰκὼν τῦ Υἱῦ τὸ Πνεῦμα τὸ Ἅγιον, διὰ τὸ ἀναγγέλειν τὰ τῦ Υἱῦ, καὶ τὸν Υἱὸν δοξάζειν, ἐκ τῦ ἔργε αὐτῦ λαμβάνον καὶ τελειῦν αὐτό· δὲ τὸ ἔργον, ὥσπερ ἐκεῖνος τὸ τῦ Πατρός.

ΚΕΦΑΛΑΙΟΝ ί.

Ἔτι τὸ διὰ τῦ Υἱῦ προϊέναι, ἢ ἐκπορεύεσθαι τὸ Πνεῦμα τὸ Ἅγιον, εἰς ταύτὸν ἄγεσι τῷ ἐκ τῦ Υἱῦ, τῆς (ΔΙΑ) λέγοντες ἰσοδυναμεῖν τῇ (ΕΚ) παρὰ τῇ Θείᾳ ΓραΦῇ. Ἔνθα μὲν ἓν ἰσοδυναμεῖ περὶ δημιργίας ὁ Λόγος, ὅτι καὶ χωρὶς τῦ Πατρὸς ἐπὶ τῦ Υἱῦ τίθεται· πάντα γάρ φησι δι' αὐτῦ ἐγένετο· ἡ δὲ τῦ Πνεύματος πρόοδος, ἐδέποτε ἄνευ τῦ Πατρὸς τίθεται· ἀλλ' ἐκ Πατρὸς φησὶ δι' Υἱῦ, δῆλον ἓν ὡς ἑτερόντι τὸ δι' Υἱῦ, καὶ ἐ τὸ ἐξ αὐτῦ σημαίνει· καί τοιγε ἐδὲ ἐπὶ τῆς ἐκπορύσεως καὶ ἐπὶ τῆς μεταδόσεως τῦτο λέγεται. „Λέγει γὰρ ὁ Δαμασκηνὸς Ἰω„άννης, Πνεῦμα μὲν Υἱῦ λέγομεν, ἐκ τῦ Υἱῦ δὲ „ἐ λέγομεν, δι' Υἱῦ δὲ φανερῦσθαι, καὶ μεταδί„δοσθαι ἡμῖν ὁμολογῦμεν· αὕτη ἡ διαφορὰ προδήλως ἑτερόντι τὸ δι' Υἱῦ παρ' ὃ βέλονται Λατῖνοι καθαρῶς ἀποφαίνεται.

Εἰδέποτε καὶ ἐπὶ τῆς ἰσιώδες εἴρηται τῦτο προόδε τῦ Πνεύματος, πάλιν αὐτὸς τὰς Θεολόγυς ἐξηγητὰς ἑαυτῶν καλέσωμεν· λέγει γὰρ ἐν τοῖς πρὸς Εὐνόμιον ὁ Θεῖος Γρηγόριος ὁ τῆς Νύσσης· „τὸ Πνεῦμα τὸ Ἅγιον διὰ τῦ Υἱῦ συνημμέ„νως καταλαμβάνεται, ἐχ ὑσερίζων κατὰ τὴν „ὕπαρξιν μετὰ τὸν Υἱὸν, ὡς ποτὲ τὸν μονογενῆ „δίχα τῦ Πνεύματος νοηθῆναι· ἀλλ' ἐκ μὲν τῦ „Θεῦ τῶν ὅλων καὶ αὐτὸ τὴν αἰτίαν ἔχον τῦ εἶ„ναι, ὅθεν καὶ τὸ μονογενὲς ἐστὶ Φῶς, διὰ δὲ τῦ „ἀληθινῦ Φωτὸς ἐκλάμψαν. Ἐν τούτοις σαΦῶς τὸ μὴ ὑσερίζον κατὰ τὴν ὕπαρξιν, τὸ διὰ τῦ Υἱῦ δηλῶν βάλεται, ταὐτὸν δὲ εἰπεῖν μετὰ τῦ Υἱῦ, ὅπερ ἐν ἄλλοις διαρρήδην φησί· δι' αὐτῦ δὲ καὶ μετ' αὐτῦ, πρίν τε καινὸν καὶ ἀνυπόστατον παρεμπεσεῖν νόημα, τὸ Πνεῦμα τὸ Ἅγιον ἐκπορεύεται· καὶ ὁ Χρυσορρήμων δὲ ἐξηγέμενος τὸ Ἀποστολικὸν ἐκεῖνο ῥητὸν, ἵνα γνωριθῇ ταῖς ἀρχαῖς καὶ ταῖς ἐξουσίαις διὰ τῆς Ἐκκλησίας, ἡ πολυποίκιλος σοφία τῦ Θεῦ, τὸ διὰ τῆς Ἐκκλησίας, ἀντὶ τῦ μετὰ τῆς Ἐκκλησίας ἐξελάμβανεν· ἃ γὰρ δὴ ἡ Ἐκκλησία τὲς ἀγγέλες ἐδίδαξεν· ἔτως ἓν καὶ ταῦθα τὸ διὰ τῦ Υἱῦ ληπτέον, ἔχει γὰρ ἔτως· ἐπεὶ τὸ Πνεῦμα τὸ Ἅγιον ἐκ τῦ Πατρὸς ἀσιωδῶς ἐκπορεύεσθαι λέγεται, ἵνα μὴ Υἱὸς ἕτερος νομισθῇ, καὶ γὰρ ὁ Πατὴρ πρὸς τὴν Υἱὸν ἀποδίδοται, διὰ τῦτο δι' Υἱῦ παρείληπται τῆς τῦ Υἱῦ μεσιτείας, ὅ φησὶν ὁ Ἱερὸς Γρηγόριος ἐν ἑτέροις, καὶ ἐν αὐτῷ τὸ μονογενὲς Φυλατ[illegible]σης, καὶ τὸ Πνεῦμα τῆς Φυσικῆς πρὸς τὸν Πατέρα σχέσεως μὴ ἀπειργάσης· διὰ τῦτο καὶ προσεχῶς μὲν Φησὶ τὸν Υἱὸν ἐκ τῦ πρώτε ἐν ἑτέροις, ὡς Υἱὸν ἐκ τῦ Πατρὸς δηλονότι· τὸ δὲ Πνεῦμα τὸ Ἅγιον ἐκ εἶπεν ἐ προσεχῶς· ἔτω γὰρ ὑσερίζον ἔσαι κατὰ τὴν ὕπαρξιν, ἀλλὰ διὰ τῦ προσεχῶς ἐκ τῦ πρώτε· τῦτο δὲ τὴν κοινωνίαν καὶ ἀλληλοχίαν ὡς εἴρηται παρισᾷ, καὶ τὸ ὁμοτίμως καὶ ὁμοφυῶς ἐκ τῦ Πατρὸς προϊέναι· ἔτω γὰρ εἰ καὶ ὁ Πατὴρ ἐλέγετο προβολεὺς, τὸ Πνεῦμα μὲν προσεχῶς ἂν ἦν ἐκ τῦ προβολέως, ὁ δὲ Υἱὸς διὰ τῦ προσεχῶς ἐκ τῦ προβολέως, τουτέστι τῦ Πνεύματος, ἐπείπερ ὁμοτίμως ἀμΦω καὶ συνημμένως ἐκ τῦ Πατρὸς πρόϊσιν· ἐκ ἄρα πλέον ἐδὲν ἔσαι Λατίνοις ἐκ τῆς (ΔΙΑ) πρὸς τὴν δόξαν τὴν ἑαυτῶν.

Ὅτι δὲ καὶ τὸ ἐναντίον ἐστὶν ἅπαν, ἥπερ ἐκεῖνοι βέλονται, παρίτω πάλιν ἡμῖν μαρτυρήσων, ὁ τῆς ἀληθείας μάρτυς καὶ ὁμολογητὴς, ὁ Θειότατος Μάξιμος. Λέγει γῶν ἔτος ἐν τῇ πρὸς Μαρῖνον Κύπρε Πρεσβύτερον ἐπιστολῇ τοιᾶδε. „Τῶν „τῦ νῦν Ἁγιωτάτε Παπα Συνοδικῶν ἐκ ἐν τοσά„τοις ὅσοις γεγράΦατε Κεφαλαίοις, οἱ τῆς Βασι„λίδος Πόλεως ἀπελάβοντο, δυσὶ δὲ μόνοις· ὧν „τὸ μὲν ὑπάρχει περὶ Θεολογίας, ὅτιπερ εἶπε, „καὶ ἐκ τῦ Υἱῦ ἐκπορεύεσθαι τὸ Πνεῦμα τὸ Ἅγιον „τὸ

„τὸ δὲ περὶ τῆς οἰκονομίας, ὅτιπερ εἶπε τὸν Κύριον „δίχα τῆς προπατορικῆς ἁμαρτίας εἶναι ὡς ἄν„θρωπον· καὶ τῷ μὲν πρώτῳ ῥήσεις παρήγαγον „Ῥωμαίων Πατέρων, καὶ Κυρίλλε Ἀλεξανδρείας „ἐκ τῆς πονηθείσης αὐτῷ πραγματείας εἰς τὸν „Ἅγιον Ἰωάννην τὸν Εὐαγγελιστήν, ἐξ ὧν ἐκ αἰ„τίαν τὸν Υἱὸν ποιοῦντας τῆς τοῦ Ἁγίου Πνεύματος „ἐκπορεύσεως σφᾶς αὐτοὺς ἀπέδειξεν· μίαν γὰρ „ἴσασιν Υἱῷ καὶ Πνεύματος τὸν Πατέρα αἰτίαν, „τῷ μὲν κατὰ γέννησιν, τῷ δὲ κατ' ἐκπόρευσιν· „ἀλλ' ἵνα τὸ δι' αὐτοῦ προϊέναι δηλώσωσι, καὶ ταύ„τῃ τὸ συναφὲς τῆς ὑσίας καὶ ἀπαράλλακτον πα„ρασήσωσι· ἐνταῦθα τὴν ἐναντίαν ὥσπερ ἐπίτη„δες οἱ Λατῖνοι τῷ μεγίστῳ Μαξίμῳ βαδίζουσιν· ὁ μὲν γὰρ μετὰ τῶν τότε Ῥωμαίων καὶ αὐτοῦ τοῦ Πάπα τὴν (ΕΚ) πρὸς τὴν (ΔΙΑ) μεταφέρει, καὶ ταύτῃ τὸ συναφὲς τῆς ὑσίας καὶ ἀπαράλλακτον παρισᾶν βάλεται· οἱ δὲ μικρὸν ἡγέμενοι τὸ μὴ πείθεσθαι τοῖς Πατράσιν, ἂν μὴ καὶ ταναντία φρονῶσι, τὸ δι' Υἱοῦ ταὐτὸν ἠγῦνται τῷ ἐξ Υἱοῦ, καὶ τὴν αἰτίαν τοῦ Πνεύματος τῷ Υἱῷ διδόασι, ἧς ἐκεῖνοι καθάπαξ αὐτὸν ἀφείλοντο· τί ἂν γένοιτο ταύτης τῆς μάχης ἀναιχυντότερον;

ΚΕΦΑΛΑΙΟΝ ιά'.

Τῶν προσόντων τῇ Θείᾳ Φύσει, τὰ μὲν ἑνικῶς μόνον ἀεὶ λέγεται, κἂν τοῖς τρισὶ προσώποις ἐνθεωρεῖται, καθάπερ τὸ, Θεὸς, καὶ Δημιουργὸς, καὶ Βασιλεὺς, καὶ ἓς ἀγαθὸς, καὶ ἔτι τοιοῦτον· ἓς γὰρ Θεὸς λέγομεν, καὶ ἓς Βασιλεὺς, καὶ ἓς Ἀγαθὸς, ὁ Πατὴρ, καὶ ὁ Υἱὸς, καὶ τὸ Πνεῦμα τὸ Ἅγιον· τὰ δὲ πληθυντικῶς ἀεὶ κἂν τοῖς δυσὶ μόνοις, ὡς τὸ αἰτιατὸν ἐπὶ Υἱῷ καὶ Πνεύματος. Δύο γὰρ αἰτιατὰ, οὐχ ἓν λέγομεν.

Τούτων ὄντως ἐχόντων, ἐπειδήπερ Λατῖνοι καὶ τὸ τῆς Θεότητος αἴτιον δυσὶ προσώποις τῷ Πατρὶ καὶ τῷ Υἱῷ νέμουσιν, ἐρώμεθα τούτους ὁποῖα τῶν εἰρημένων μερίδι τοῦτο συντάττουσιν; εἰ μὲν ἓν τῇ δευτέρᾳ φήσουσιν, αὐτόθεν δῆλον τὸ ἄτοπον· δύο γὰρ ἔσαι τὰ αἴτια, καθάπερ καὶ τὰ αἰτιατὰ δύο, καὶ ὄντως ἡ δυαρχία πάροδον ἕξει, καὶ τὸ πολυύμνητον τῆς μοναρχίας ἐκ ποδῶν γενήσεται· εἰ δὲ τῇ προτέρᾳ, πρῶτον μὲν πῶς; ἐκεῖνα γὰρ κοινάτε καὶ φυσικά. καὶ τοῖς τρισὶ προσώποις ὁμοίως ὑπάρχοντα· ἔπειτα καὶ ὄντως πάλιν εἰς τὸ αὐτὸ περιενεχθήσεται· τὸ γὰρ ἓν αἴτιον, ἡ γεννήτωρ καὶ προβολεὺς, ὅπερ ἐστὶν ὁ Πατὴρ μόνος, ἐκ ἔστι ταὐτὸν ἀριθμῷ τῷ ἑνὶ αἰτίῳ, ἢ προβολεὺς μόνον ὅπερ ἐστὶν ὁ Πατὴρ καὶ ὁ Υἱὸς, ὡς αὐτοὶ λέγασι· δύο ἄρα καὶ ὄντως τὰ αἴτια, καὶ ἀρχαὶ δύο, καὶ ἡ δυαρχία πανταχόθεν αὐτὸς περίεσται.

ΚΕΦΑΛΑΙΟΝ ιβ'.

Τὸ τῆς Θεότητος αἴτιον ὡς ἂν φαῖεν Λατῖνοι διαφόρως τῷ Πατρὶ καὶ τῷ Υἱῷ πρόσεστι, καὶ ἐ τὸν αὐτὸν τρόπον, ἀλλὰ τῷ Πατρὶ μὲν ἡ γεννήτωρ καὶ προβολεὺς, τῷ δὲ Υἱῷ ἡ προβολεὺς μόνον· ἡ δὲ διαφορὰ κατὰ τὰς Πατέρας ἀριθμὸν ἑαυτῇ συνεισάγει· δύο ἄρα τὰ τῆς Θεότητος αἴτια, καὶ ἡ μοναρχία κἀντεῦθεν τοῖς Λατίνοις ἐλήλαται.

ΚΕΦΑΛΑΙΟΝ ιγ'.

Θωμᾶς ὁ τῶν Λατίνων Διδάσκαλος ἀξιῶν μίαν τῶν ἀντιθέσεων ἀνάγκην εἶναι τὰ Θεαρχικὰ πρόσωπα διακρίνεσθαι· ἐπειδὴ φησὶν ἡ ὑλικὴ διάκρισις ἐν τοῖς Θείοις χώραν ἐκ ἔχει, τὴν κατὰ χέσιν ἀντίθεσιν βάλεται μόνην εἶναι τὴν διακρίνασαν, ὡς ἑτέρας τῶν ἀντιθέσεων ἐκ ἐχέσας χώραν.

Δεικνυτέον ἓν ἡμῖν ὡς μᾶλλον ἱκανὴ πρὸς διάκρισιν ἡ τῶν ἀντιθέσεων ἀντιφατικὴ, καὶ ταύτῃ μόνῃ κατὰ τὰς Θεολόγους ἀλλήλων πάντα τὰ Θεῖα πρόσωπα διακρίνεσθαι.

Πρῶτον μὲν ἓν ἐκεῖνο δῆλον ἐπὶ τῶν Θείων, ὡς ἑκάστῃ τῆς ὑπάρξεως τρόπος αὐταρκέστατος πρὸς τὴν ὑφ' ἑτέρᾳ διάκρισιν· τρόπος δὲ ὑπάρξεως ἐπὶ τῶν Θείων προσώπων οἱ Θεολόγοι τὸ ἀγέννητον, καὶ τὸ γεννητὸν, καὶ τὸ ἐκπορευτὸν λέγουσιν· ἤτοι καθολικώτερον φάναι, τὸ ἀναίτιον, καὶ τὸ αἰτιατὸν, ἅπερ ἀλλήλοις δῆλον ὡς ἀντιφατικῶς ἀντίκειται· τὸ γὰρ ἔχον αἰτίαν, καὶ τὸ μὴ ἔχον αἰτίαν ἀντίφασις· ὁμοὶ ἓν Πατὴρ Υἱῷ καὶ Πνεύματος, τουτέστιν ἀντιφατικῶς διακρίνεται· ὁ δὲ Υἱὸς καὶ τὸ Πνεῦμα πρὸς ἄλληλα τοῖς τῶν οἰκείων αὖθις ὑπάρξεων τρόποις· τὸ γὰρ γεννητῶς εἶναι καὶ τὸ μὴ γεννητῶς ἀλλ' ἐκπορευτῶς, τρόποιτε ὑπάρξεων ἐπὶ τούτων εἰσὶ, καὶ ἀλλήλοις ἀντιφατικῶς ἀντίκεινται· καὶ τοῦτο περὶ τοῦ Πνεύματος ὁ Θεολόγος Γρηγόριος λέγει· „Προϊὸν μὲν „ἐκ τοῦ Πατρὸς, ἐχ υἱικῶς δὲ, οὐδὲ γὰρ γεννητῶς, „ἀλλ' ἐκπορευτῶς.

Αὕτη μὲν ἓν ἡ διάκρισις κατὰ τὴν ἀντίφασιν ἔσα, καὶ τῇ ἀληθείᾳ σύμφωνος, καὶ τοῖς Θεολόγοις ἅπασι, καὶ πάντα τὰ Θεῖα πρόσωπα δύναται διακρίνειν· ἣν δὲ εἰσάγει ὁ Θωμᾶς, ὡς μόνην ἱκανὴν ἔσαν, τὴν κατὰ χέσιν λέγω, τὸν μὲν Πατέρα τῶν ἐξ αὐτοῦ προελθόντων Υἱοῦ καὶ Πατρὸς διακρίνει, τὰ δὲ λοιπὰ τῶν προσώπων ἀλλήλων ἀδοποσοῦν· οὐδὲ γὰρ αἴτιον θατέρῳ θάτερον· οὐδὲ φαίνεται ταύτην οὐδεὶς τῶν Θεολόγων τὴν διάκρισιν εἰρηκώς, ἀλλὰ τἐναντίον ἅπαν· μόνος γὰρ αἴτιος ὁ πατὴρ φησὶν ὁ Δαμασκηνὸς, καὶ ὁ Νύσσης Γρηγόριος, τῷ ἐξ αἰτίας ὄντος πάλιν ἄλλην διαφορὰν ἐννοῦμεν, ἄλλην φησὶ παρὰ τὴν εἰρημένην, ἡ δὲ ἦν κατὰ τὸ αἰτιατὸν δηλονότι· καθόλου δὲ ὁ τολμητέον εἰπεῖν ἢ ἐννοῆσαι παρὰ τὰ ὁσιωθῶς ἡμῖν ἐκ τῶν Ἱερῶν Λογίων ἐκπεφασμένα, Διονύσιος ὁ Κλεινὸς ἀποφαίνεται.

ΚΕΦΑΛΑΙΟΝ ιδ'.

Εἰ τὸ αἰτιατὸν διαφόρως ὑπάρχει τῷ Υἱῷ καὶ τῷ Πνεύματι· τὸ μὲν γὰρ γεννητὸν, τὸ δ' ἐκπορευτὸν, ἡ δὲ διαφορὰ κατὰ τὰς Πατέρας ἀριθμὸν ἑαυτῇ συνεισάγει, δύο ἄρα τὰ αἰτιατὰ ὁ Υἱὸς καὶ τὸ Πνεῦμα, κατὰ τὸν αὐτὸν τρόπον, εἰ τὸ τῆς Θεότητος αἴτιον διαφόρως Πατρὶ καὶ Υἱῷ πρόσεστιν· ὁμοὶ γὰρ γεννήτωρ καὶ προβολεὺς, ὁ δὲ προβολεὺς μόνον, δύο ἔσαι τὰ τῆς Θεότητος αἴτια, τῇ διαφορᾷ τῷ ἀριθμῷ ἑπομένᾳ, τουτέστι τῆς δυάδος, κατὰ τὴν τῶν Θεολόγων ἀπόφασιν.

ΚΕΦΑΛΑΙΟΝ ιε.

Εἰ τιμιώτερον Θεῷ τῷ αἰτίῳ Θεότητος εἶναι, ἢ τῷ αἰτίῳ τῆς κτίσεως, πῶς τῷ τιμιωτέρῳ Πατρὶ καὶ Υἱῷ μὴ κοινωνεῖν κατὰ Λατίνους τὸ Πνεῦμα τὸ Ἅγιον, ἐκ ἔλαττον ἔσαι τῇ ἀξίᾳ, καὶ τῇ Θεότητι; ἐμὲν γὰρ ὅλως μεταδοτὸν τὸ τῆς Θεότητος αἴτιον, διατὶ μὴ καὶ τὸ Πνεῦμα τούτῳ μετείληφεν; εἰ δ' ἀμετάδοτον ὅλως ὡς τοῦ Πατρὸς ἴδιον, ὥσπερ καὶ τὸ ἀναίτιον, οὐδὲ ὁ Υἱὸς ἄρα τούτῳ μεθέξει κατ' οὐδένα τρόπον, εἰ καὶ μάλα τοῦτο Λατῖνοι βέλονται.

ΚΕΦΑΛΑΙΟΝ ιε'.

Ἡμεῖς μὲν τὸν Υἱὸν αἱρεθέντες τῆς αἰτίας τοῦ Πνεύματος, οὐδὲ αὐτὸν ἐλαττοῦμεν τῆς τοῦ Θεοῦ Πατρὸς ἀξίας· οὐδὲ γὰρ ὅλως μεταδοτὸν τὸ τῆς Θεότητος αἴτιον λέγομεν, ὥσπερ οὐδὲ τὸ ἀναίτιον τοῦ Πατρὸς, οὐδ' αὐτὴν τὴν Πατρότητα· Λατῖνοι δὲ μεταδοτὸν τοῦτο φρονοῦντες, εἶτα τὸ Πνεῦμα λείπεσθαι τούτῳ λέγοντες, πάσαις ἀνάγκαις ἔλαττον αὐτὸ ποιοῦσι τῆς τοῦ Πατρὸς καὶ Υἱοῦ Θεότητος καὶ ἀξίας, καὶ κατὰ τοῦτο βλασφημεῖν εἰς τὸ Πνεῦμα τὸ Ἅγιον, ὥσπερ καὶ κατ' ἄλλα πολλαχῶς ἀναγκάζονται.

ΚΕΦΑΛΑΙΟΝ ιϛ'.

Τὸ Πνεῦμα τὸ Ἅγιον ἐκ τοῦ Πατρὸς καὶ Υἱοῦ προερχόμενον, ἢ καθὸ εἰσὶ διακεκριμένοι τούτων προϊσιν, ἢ καθὸ εἰσὶν ἡνωμένοι· εἰμὲν ἓν καθὸ εἰσὶ διακεκριμένοι, καὶ δύο τούτων προέρχεται· διακεκριμένοι δὲ εἰσὶ κατὰ τὰς ὑποσάσεις, καὶ δύο· ἐκ δύο ἄρα ὑποσάσεων τὸ Πνεῦμα τὸ Ἅγιον προϊσι· κἀντεῦθεν ἐκ δύο ἀρχῶν ἐξ ἀνάγκης.

Εἰ δὲ καθὸ εἰσὶν ἡνωμένοι, πρῶτον ἐκ ἔτι τὸ αὐτὸ καὶ καθὸ εἰσὶ διακεκριμένοι τούτων προϊσιν· ἐκ ἄρα ἐκ τῶν ὑποσάσεων αὐτῶν προϊσιν, ἔτε ἄρα ἐκ τῆς Πατρικῆς ὑποσάσεως, ἔτε ἐκ τῆς τοῦ Υἱοῦ ὑποσάσεως· ἀλλὰ τὸ μὲν ἀληθὲς, τὸ δὲ ψεῦδος ὁ τῆς Νύσσης Γρηγόριος Ποιμὴν διελέγχει· λέγει γὰρ ἔτσι ῥητῶς. „Πνεῦμα τὸ τῆς Πατρι„κῆς ἐκπορευόμενον ὑποσάσεως· καὶ τί ἂν εἴη τοῦτο καθὸ ἡνωμένοι; τὴν Φύσιν ἐρεῖσι τυχὸν, ἢ τὴν προβλητικὴν δύναμιν· ἀλλ' εἰμὲν ἐκ τῆς Φύσεως πρόεισι, καὶ ἐξ ἑαυτοῦ προελεύσεται· κοινὸν γὰρ τοῖς τρισὶν ἡ Φύσις· εἰδὲ ἐκ τῆς προβλητικῆς δυνάμεως, καὶ ταύτην ὤφειλεν ἔχειν αὐτό· τὰ γὰρ κοινὰ Πατρὶ καὶ Υἱῷ, κοινὰ καὶ τὸ Πνεύματι. Διονύσιος φησὶ καὶ Βασίλειος οἱ μεγάλοι. Ἀλλὰ τὶς ὁ σοφὸς αὐτῶν πρὸς τοῦτο καταγέλασος λόγος; ἔχειν ἂν φασὶ καὶ αὐτὸ ταύτην, εἰ μὴ ἀδύνατον ἦν ἑαυτὸ προβάλλειν· τοῦτο μὲν ἓν ὅμοιον, ὡς εἴτις ὁρῶν ἐκ τῶν ἑαυτῷ συναγόμενον λόγον, τὸν ἄνθρωπον λίθον εἶναι, τὰ μὲν ὅθεν τοῦτο συνάγεται μηδοπωσοῦν ἐπανορθῶν πειρῶτο, λέγει δὲ ὡς ἦν ἂν ὁ ἄνθρωπος λίθος, εἰμὴ ἀδύνατον ἦν τὸ λογικὸν ζῶον ἄψυχόν τε καὶ ἀκίνητον εἶναι.

ΚΕΦΑΛΑΙΟΝ ιή.

Τὰ τῷ Θεῷ προσόντα κυρίως, καὶ μόνως, καὶ μόνῳ, καὶ μόνα, καὶ ἀεὶ καὶ πάντη προσεῖναι ὀφείλει· τὰ μὲν φυσικὰ καὶ κοινὰ τοῖς τρισὶ προσώποις, τὰ δ' ὑποστατικὰ καὶ προσωπικὰ τῶν τριῶν ἑκάστῳ· οὐδὲν γὰρ ἐκεῖ συμβεβηκὸς, οὐδὲν ἐπίκτητον, οὐδ' ὕστερον προσγινόμενον, οὐδὲν οὐ κυρίως καὶ μόνως· καθάπερ ἓν καὶ ἀγαθὸς καὶ σοφὸς, καὶ Θεὸς βασιλεὺς, καὶ δημιουργός. ἔτι δὲ ἀόρατος καὶ ἀθάνατος, καὶ ἀΐδιος ὁ Θεὸς λεγόμενος, μόνως τε καὶ Κυρίως ὡς πρὸς τὴν κτίσιν ἅπαντα ταῦτα λέγεται· „λέγει γὰρ ὁ Ἀπόσ„τολος· τῷ δὲ βασιλεῖ τῶν αἰώνων, ἀφθάρτῳ, ἀο„ράτῳ, μόνῳ σοφῷ Θεῷ· καὶ αὖθις, ὁ μόνος „ἔχων ἀθανασίαν, ὁ φῶς οἰκῶν ἀπρόσιτον. ἕτω καὶ ὅπερ ἂν λέγοιτο τῶν τριῶν ἕκαστον, μόνον τε καὶ Κυρίως ἐστὶ πρὸς τὰ λοιπὰ τῶν τριῶν ὅπερ λέγεται. Πατὴρ γὲν ὁ Πατὴρ, καὶ μόνον, καὶ μόνος, καὶ Κυρίως, καὶ μόνως· Υἱὸς ὁ Υἱὸς, καὶ μόνον καὶ μόνος, καὶ Κυρίως καὶ μόνως· καὶ Πνεῦμα, ὁμοίως τὸ Πνεῦμα τὸ Ἅγιον· ἕτω δὴ καὶ ἀναίτιος ὁ Πατὴρ, εἴτεν ἀγέννητος μόνον, καὶ μόνος, καὶ Κυρίως καὶ μόνως· ἀλλὰ δὴ καὶ αἴτιος αὖθις ὁμοίως, καὶ τὰ λοιπὰ τῶν προσώπων ἄρα μόνον καὶ αἰτιατὰ καὶ μόνα, Κυρίως καὶ μόνως· δυοῖν γὰρ ὄντοιν αἰτίᾳ καὶ αἰτιατῷ, εἰ τὸ αἴτιον μόνος ὁ Πατὴρ ἔχει, τὸ αἰτιατὸν ἄρα μόνα τὰ λοιπὰ τῶν προσώπων, καὶ μόνον, καὶ μόνως. Σκεπτέον γὰρ ὅτι τὸ μόνον ἀεὶ πρὸς τὸ ἀντικείμενον λέγεται· μόνον γὰρ Πατὴρ ὁ Πατὴρ, καὶ οὐχὶ καὶ ὁ Υἱὸς· καὶ μόνον Υἱὸς ὁ Υἱὸς, ἀλλ' οὐ καὶ ὁ Πατὴρ· καὶ μόνον Πνεῦμα Ἅγιον, ἀλλ' οὐ Πατὴρ ἢ Υἱὸς· καὶ μόνος ἀναίτιος ὁ Πατὴρ, ἀλλ' οὐχὶ καὶ αἰτίαν ἔχων, ἕτω δὴ καὶ μόνον αἴτιος, ἀλλ' οὐ καὶ αἰτιατὸς· καὶ τὰ λοιπὰ τῶν προσώπων ἄρα μόνον αἰτιατὰ, καὶ οὐδὲν τούτων αἴτιον· εἰ γάρ τι τούτων καὶ αἴτιον εἴη, τὸ μόνον ἀναιρεθήσεται· καὶ ἔτε μόνον καὶ Κυρίως αἴτιον ἔσαι, ἔτε μόνον καὶ Κυρίως αἰτιατόν· ἃ τἐναντίον ἀναίγκην εἶναι προαποδέδεικται· ἡ γὰρ ἀντίθεσις διακρίσεως αἰτία καὶ κατ' αὐτὰς τὰς Λατίνας, ᾗ ἄμφω τὰ ἀντικείμενα συνδραμεῖν ἐφ' ἑνὸς τῶν Θεαρχικῶν προσώπων ἀδύνατον· θάτερον γὰρ τούτων ἀ Κυρίως ἔσαι, καὶ διὰ τοῦτο πάντως οὐδ' ἕσαι τούτοις· συμφωνεῖ καὶ τὰ τῶν Ἁγίων ῥητὰ, τῇ μὲν Δαμασκηνῷ λέγοντος ἐν τοῖς Θεολογικοῖς Κεφαλαίοις, μόνος αἴτιος ὁ Πατὴρ. „Θεοδώρᾳ δὲ τῷ „Στουδίτῃ ψάλοντος, μόνῃ μονογεννήτωρ μονο„γενοῦς Υἱῷ Πατὴρ, καὶ μόνον μόνῃ φῶς φωτὸς „ἀπαύγασμα, καὶ μόνον μόνως μόνῃ Θεοῦ Ἅγιον „Πνεῦμα, Κυρίᾳ Κύριον ὄντως ὄν· ἐκ ἄρα τὸ αἴτιον ὁ Υἱὸς ἔζει, μόνον αἰτιατὸς ὀφείλων γε εἶναι, καὶ μόνον Υἱὸς, ὥσπερ καὶ τὸ Πνεῦμα τὸ Ἅγιον, μόνον μόνῃ Πνεῦμα τῷ Θεῷ καὶ Πατρὸς.

ΚΕΦΑΛΑΙΟΝ ιθ'.

Ἐρώμεθα τὲς Λατίνες, εἰ πάντα τὰ τῷ Πατρὸς τὸν Υἱὸν ἔχειν βέλεσθε, διατὶ μὴ καὶ Πατέρα τέτε ποιεῖτε; ὅτι φασὶν ἀντίθεσιν ἔχει τῶτο πρὸς τὸν Υἱὸν, ἡ δὲ ἀντίθεσις διακρίνειν οἶδε τὰ πρόσωπα, ἧ ἐχὶ συνάπτειν, ἵνα μὴ σύγχυσις ἐν αὐτοῖς γένηται· εἰ ἓν ἡ ἀντίθεσις διεῖλε τὰ Θεῖα πρόσωπα καθ' ὑμᾶς ὧ σοφώτατοι, καὶ ἄμφω τὰ ἀντικείμενα συνελθεῖν ἐφ' ἑκάσε τέτων ἀδύνατον, οὐδ' ἄρα τὸ αἴτιον καὶ αἰτιατὸν συνελεύσεται· καὶ ταῦτα γὰρ ἀντικείμενα, οὐδ' ὁ Υἱὸς αἰτιατὸς ὁμῶ καὶ αἴτιος ἔσαι· καθάπερ οὐδ' ὁ Υἱὸς ὁμῶ καὶ Πατὴρ· ἀλλὰ τί πρὸς τῶτο φήσεσιν; ἦν ἂν καὶ Πατὴρ, εἰ εἶχε πρὸς ὃν ἀποδοθήσεται· τῆς ἀτοπίας πάλιν ἡμῖν ἐπανήκει τὸ καταγέλασον ἐκεῖνο σόφισμα, καὶ ταὐτὸν ποιῆσιν οἱ τῶτο λέγοντες, ὥσπερ ἂν εἴτις ἀποφαινόμενος πάντα ἄνθρωπον γεννητὸν εἶναι, ἔλεγεν, ὡς ἦν ἂν καὶ ὁ Ἀδὰμ γεννητὸς, εἰ Πατέρα εἶχε.

ΚΕΦΑΛΑΙΟΝ κ'.

Φασὶν οἱ Λατῖνοι μηδὲν διαφέρειν ἐπὶ τῶν Θείων προσώπων τὴν (ΔΙΑ) τῆς (ΕΚ) παρὰ τῇ Θείᾳ Γραφῇ, καὶ διὰ τῶτο τὸ δι' Υἱοῦ προϊέναι λέγεθαι τὸ Πνεῦμα τὸ Ἅγιον εὑρηταί πε φερόμενον· εἰ γὰρ ταὐτὸν καὶ ἀδιάφορον ἔδει καὶ τῶτο λέγεθαι καθάπερ ἐπὶ τῆς κτίσεως εὑρηται πολλαχῆ. „Παῦλος Ἀπόσολος, Ἰησῦ Χριςῦ διὰ „θελήματος τῦ Κυρίε· καὶ πάλιν· Παῦλος Ἀπό„στολος ἐκ ἀπ' ἀνθρώπων, οὐδὲ δι' ἀνθρώπου, ἀλ„λὰ διὰ Θεῦ Πατρὸς καὶ Κυρίε Ἰησῦ Χριςῦ· καὶ „πάλιν, ἐκτησάμην ἄνθρωπον διὰ τῦ Θεῦ· καὶ „πάλιν, ἐχὶ διὰ τῦ Θεῦ ἡ διασάφησις αὐτῶν „ἐσὶν; ὅλως δὲ, εἰ μὲν πάντα τὰ περὶ τῦ Θείε λεγόμενα Πνεύματος, πρὸς τὸν Πατέρα καὶ τὸν Υἱὸν ὁμοίως ἀνεφέρετο, ἔχειν ἂν χώραν κοινοποιεῖν ἅπαντα, καὶ τὴν ἐξ ἑκατέρε ὁμοίως ὁμολογεῖν πρόοδον· εἰ δὲ τὰ μὲν τῷ Πατρὶ ἰδίως, τὰ δὲ τῷ Υἱῷ νενέμηται, τὰ δ' ἀμφοτέροις ἐπίσης, μὴ μιγνύτωσαν ὁμῦ πάντα χρήματα. Διὶ Υἱῦ προϊέναι λέγεται, δι' Υἱῦ χορηγεῖθαι τῇ κτίσει, ἐν Υἱῷ μένειν, ἐν Υἱῷ ἀναπαύεθαι· ἔτε διὰ Πατρὸς προϊέναι, ἔτε διὰ Πατρὸς χορηγεῖθαι, ἔτε ἐν Πατρὶ μένειν, ἔτε ἐν Πατρὶ ἀναπαύεθαι, ἀλλ' ἐκ τῦ Πατρὸς ἐκπορεύεθαι· λεγέθω τοιγαροῦν τὰ κεκηρυγμένα, καὶ τὰ σεσιγημένα σιγάθω, καὶ τὸ ἐξ Υἱῦ τὸ Πνεῦμα τὸ Ἅγιον ἐκπορεύεθαι ὡς ἔκφυλόντε καὶ ἄηθες ἀποσκορακείθω.

ΚΕΦΑΛΑΙΟΝ κά.

Ὅταν ἀποβλέψω πρὸς τὰς φωνὰς τῶν Ἁγίων, οἷς κεχρημένοι περὶ τῦ Θείε Φαίνονται Πνεύματος, οἶμαι τὲς Λατινοφρονῆντας μηδὲ λογικῆς γὲν ἀκολεθίας καὶ συμφάσεως τεχνικῆς ἐπαιθάνεθαι, μήτιγε Θείας ἀκριβείας δογμάτων, καὶ Πατρικῆς διανοίας μετὰ τῦ Πνεύματος ζητῆσι περὶ τῦ Πνεύματος· τί γὰρ καὶ φήσεσιν, ὅταν οἱ Ἅγιοι μερίζωσι τοῖς συνδέσμοις τὴν εἰς Πατέρα καὶ Υἱὸν ἀναφορὰν τῷ Ἁγίῳ Πνεύματος; „καὶ ὁ μὲν λέγει, ἐκ μὲν τῦ Θεῦ „τῶν ὅλων καὶ αὐτὸ τὴν ὕπαρξιν ἔχον, δι' Υἱῦ δὲ „πεφηνὸς, δηλαδὴ τοῖς ἀνθρώποις· ὁ δὲ, ἐκ τῦ „Πατρὸς ἐκπορευόμενον, ἐν δὲ τῷ Υἱῷ μένον· ὁ δὲ, „τῦ μὲν Υἱῦ ἤρτηται τῷ ἀδιασάτως συμπαρα„λαμβάνεθαι, τῆς δὲ τῦ Πατρὸς αἰτίας ἐξημ„μένον ἔχει τὸ εἶναι, ὅθεν ἐκπορεύεται· ὁ δὲ, ἐκ„πορεύεται μὲν ἐκ τῦ Θεῦ, καὶ Πατρὸς, ἔσι δὲ „ἐκ ἀλλότριον τῦ Υἱῦ κατὰ τὸν τῆς ἐσίας λόγον· ἆρ' ἔτι τολμήσεσι Φάναι μίαν ἐξ ἀμφοῖν εἶναι τῦ Πνεύματος πρόοδον; καὶ τίποτε αὐτοῖς ὁ μερισμὸς ἐβέλετο βέλτιςοι; καὶ τὸ μὲν τέτῳ διδόναι, τὸ δὲ ἐκείνῳ; τὶς γὰρ εὐσεβῶς ἐρεῖ, παρὰ μὲν τῦ Θεῦ καὶ Πατρὸς ὑποσῆναι τὴν κτίσιν, διὰ δὲ τῦ Υἱῦ κεκοσμῆθαι, τὰ καὶ παρ' ἀμφοῖν ὁμοίως ὡς ἑνὸς Θεῦ καὶ δημιεργῦ, καὶ τὸ εἶναι λαβῆσαν, καὶ διακοσμηθεῖσαν; πῶς δὲ ἐκ ἀδιανόητον, εἰ ταὐτὸν αἱ λέξεις ἠδύναντο, μερίζειν αὐτὰς τοῖς συνδέσμοις; ὥσπερ ἂν εἴτις ἔλεγε, παρὰ μὲν τῦ Θεῦ καὶ Πατρὸς ἐσερεῶθαι τὰς ἐρανὰς, διὰ δὲ τῦ Υἱῦ συμπεπῆχθαι· καὶ ὁ τοιέτῳ χήματι χρώμενος μερισμῷ, ἀφαιρεῖ δῆπε θατέρῳ θατέρον, ὥσπερ ὁ λέγων, Παῦλος μὲν ταρσεὺς, παλαιῖνος δὲ Πέτρος, ἐκ ἄμφω, καὶ ἀμφοῖν δίδωσι· καὶ ὁ λέγων εὐδοκίᾳ μὲν τῦ Πατρὸς, αὐτεργίᾳ δὲ τῦ Υἱῦ, συνεργείᾳ δὲ τῦ Πνεύματος τὴν οἰκονομίαν γενέθαι, ἓν ἑκάτῳ δὰς, ἀφείλετο τὰ λοιπά· δῆλον ἄρα καὶ τὸ ἐξ αὐτῦ τῦ κατὰ τὸν μερισμὸν χήματος, ὡς ἔτε τῷ Πατρὶ προσήκει τὸ διὰ αὐτῦ χορηγεῖθαι τὸ Πνεῦμα τὸ Ἅγιον, ἔτε τῷ Υἱῷ τὸ ἐξ αὐτῦ ἐκπορεύεθαι.

ΚΕΦΑΛΑΙΟΝ κβ'.

Ὁ ἐν τῇ Θείᾳ Γραφῇ λαλήσας Θεὸς, προειδὼς τῶν ἀνθρώπων τὸ φιλομόχθηρον, καὶ τὰ παρὰ τῦ ἐχθρῦ ἐπισπαρησόμενα ζιζάνια τῇ αὐτῦ διδασκαλίᾳ προαναςέλλων, ἐδεμίαν ἀφῆκε λέξιν, ἐν ἐλλειπῶς ἔχειν δοκῆσαν ἐκ ἀνεπλήρωσεν ἐν ἑτέροις, ἢ λαβεῖν τινὰ παρέξειν μέλλησαν ἐκ ἀπεύθυνεν ἁμαχόθεν, ἵνα ἐκεῖνο τὸ „τῦ σοφῦ πληρωθῇ· „πάντα εὐθεῖα ἐσὶ τοῖς νοῦσι, καὶ ὀρ„θὰ τοῖς εὑρίσκεσι γνῶσιν· αὐτίκα τὸ, ὁ Πατὴρ μὲ μείζων μέ ἐσίν, ἐπειδὴ πολύτι συμβάλλεθαι ἔμελλε τοῖς τὸν Υἱὸν ἐλατῆσι τῆς πατρικῆς ἀξίας, ἐπανίσωσεν ἐν ἑτέροις εἰπών· „ἐγὼ καὶ ὁ Πα„τὴρ ἕν ἐσμεν· καὶ αὖθις, ἐγὼ ἐν τῷ Πατρὶ, καὶ „ὁ Πατὴρ ἐν ἐμοί· καὶ ὁ Ἀπόσολος· ἐχ ἁρπα„γμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ· πάλιν ἐν ταῖς „παροιμίαις τὸ, Κύριος ἔκτισέ με παρὰ τῆς σο„φίας λεγόμενον, ἐν τοῖς ἐφ' ἑξῆς διορθῆται· λέ„γει γὰρ ὑποκατιῶσα· πρὸ δὲ πάντων βενῶν „γεννᾷμε. Διὰ μὲν ἐκείνε τὴν κατὰ σάρκα δηλῶσα κλῆσιν καὶ γέννησιν· Διὰ δὲ τέτε τὴν προαιώνιον γέννησιν.

Πάλιν ἐπείπερ ἐν τοῖς Εὐαγγελίοις, μόνον ἀλη„θινὸν Θεὸν, τὸν ἑαυτῦ Πατέρα φησὶ, λέγει γὰρ, „ἵνα γινώσκωσίσε τὸν μόνον ἀληθινὸν Θεὸν, καὶ ὃν ἀπέσειλας Ἰησῦν Χριςόν· ἵνα μὴ δόξῃ τῆς ἀληθινῆς Θεότητος ἑαυτὸν ἀφορίζειν, αὐτὸς ὁ ταῦτα γράψας Ἰωάννης ἐν τῇ ἐπισολῇ περὶ τῦ Υἱῦ φησὶν, „ἕτος ἐσὶν ὁ ἀληθινὸς Θεὸς, καὶ ἡ ζωὴ ἡ „αἰώνιος· πάλιν ἐπειδὴ τὸ Πνεῦμα τῦ Πατρὸς λέγεται κατὰ τὴν Φυσικὴν οἰκείωσιν, καὶ τὴν „πρὸς ἡμᾶς δωρεὰν, λέγει γὰρ, ἐκ ἐσὲ ὑμεῖς οἱ „λαλῦντες, ἀλλὰ τὸ Πνεῦμα τῦ Πατρὸς ὑμῶν, „τὸ λαλῦν ἐν ὑμῖν, ἵνα μὴ δόξῃ τῦ Υἱῦ ἀλλότριον εἶναι, καὶ μὴ ὁμοίως παρ' αὐτῦ δίδοθαι, Πνεῦμα

καὶ τῷ Υἱῷ λέγεται· λέγει γὰρ ὁ Ἀπόστολος· „ἐξαπέστειλεν ὁ Θεὸς τὸ Πνεῦμα τῷ Υἱῷ αὐτῷ εἰς „τὰς καρδίας ὑμῶν· εἰ τοίνυν καὶ τὸ ἐκ Πατρὸς ἐκπορεύεσθαι τοιοῦτον ἦν, ὡς συνοεῖσθαι καὶ ἐκ τοῦ Υἱοῦ ἐκπορεύεσθαι, ἐκ ὧν παρέλιπεν ἐν ἑτέροις εἰπεῖν τοῦτο, καὶ διορθῶσαι ὁ τῆς τῶν ἀνθρώπων κηδόμενος σωτηρίας, ἀλλ' ἢ δι' ἑαυτοῦ πάντως, ἢ διὰ τῶν αὐτῷ Μαθητῶν ἔμελλε τοῦτο σαφῶς ἐκκαλύψειν. Ἐπεὶ δὲ ἐκ εἴρηκε, δῆλον ὡς τὸ μὴ ὂν ἐκ εἴρηκε· διὰ τοῦτο ὁ Δαμασκηνὸς Ἰωάννης φησί. „Πνεῦμα Υἱοῦ λέγομεν, ἐκ τοῦ Υἱοῦ δὲ ἐ„λέγομεν· ὁ δὲ Θεῖος φησιν Ἀπόστολος, κἂν Ἄγ„γελος ἐξ ἐρανοῦ Εὐαγγελήσηται ὑμῖν, παρ' ὃ „παρελάβετε, ἀνάθεμα ἔστω.

ΚΕΦΑΛΑΙΟΝ κγ'.

Τὸ, Πατὴρ ἐπὶ Θεοῦ λεγόμενον ὄνομα, περιλαμβάνει πάντα τὰ αὐτοῦ ἰδιώματα· τὸ, τε ὡς ἀγέννητον ἐν ἑαυτῷ περιέχει κατὰ τὸν μέγαν Βασίλειον· ὁ γὰρ Κυρίως καὶ μόνος Πατὴρ, ἐξ οὐδενὸς ἄλλο γεγέννηται, καὶ πρὸς τὸ Πνεῦμα Πατὴρ ὡς προβολεὺς λέγεται κατὰ τὴν γραφὴν „τὴν λέγουσαν, τῷ Πατρὸς τῶν φώτων· εἰ τοί„νυν τῷ Πατρικῷ ὀνόματος ἐ μεταδίδωσι τῷ Υἱῷ, οὐδὲ τῆς προβλητικῆς ἰδιότητος αὐτῷ μεταδίδωσιν· ἵνα καὶ ἀπάτωρ ἀναφανῇ ὁ Υἱὸς καθ' ἡμᾶς τοὺς ἀνθρώπους, καὶ τὸ Πνεῦμα ἐντεῦθεν Υἱωνὸς νομισθῇ.

ΚΕΦΑΛΑΙΟΝ κδ'.

Ὁ Πατὴρ καὶ ὁ Υἱὸς ἓν αἴτιον τοῦ Ἁγίου Πνεύματος, οἱ Λατῖνοι φασίν· ἐρωτήσωμεν οὖν αὐτοὺς, ὥσπερ ὁ Πατὴρ μόνος ἓν αἴτιον τοῦ Ἁγίου Πνεύματος, οὕτω καὶ ὁ Πατὴρ καὶ ὁ Υἱὸς ἓν αἴτιον, ἢ ἄλλως; εἰ μὲν οὖν οὕτω φήσουσιν, ὁ δὲ Πατὴρ μόνος ἓν πρόσωπον, ἔσαι καὶ ὁ Πατὴρ καὶ ὁ Υἱὸς ἓν πρόσωπον, καὶ συναλοιφὴ σαβελλίς ἐπεισῆλθεν· εἰ δὲ ἄλλως μὲν ὁ Πατὴρ ἓν αἴτιον μόνος, ἄλλως δὲ ὁ Πατὴρ καὶ ὁ Υἱὸς, μὴ λανθανέτωσαν ἑαυτοὺς, δύο αἴτια, καὶ ἀρχὰς δύο, κἂν μὴ θέλωσιν ἐπεισάγοντες.

ΚΕΦΑΛΑΙΟΝ κε.

Καθολικόν τινα διακρίσεως Λόγον ἀποδιδόναι τοῖς διακρινομένοις ἅπασιν οἱ Λατῖνοι μεγαλαυχῶσιν· ἔστος δ' ἐστὶν ἡ κατὰ τὴν ὕλην ἢ κατὰ μίαν τῶν ἀντιθέσεων αὐτὰ διακρίνεσθαι· ὅτι μὲν ἓν εἰ καὶ ἐπὶ τῶν ὄντων ἀληθὴς ἦν ὁ λόγος, ἐκ ἂν ἦν ἀναίγκη μεταφέρειν αὐτὸν πρὸς τὰ Θεῖα· ἐ γὰρ τοῖς αὐτοῖς ἐκεῖνα τε καὶ ταῦτα λόγοις ὑπόκειται, τόγε νῦν ἔχον παραλελείφθω· προκείσθω δὲ ἡμῖν δεῖξαι, ὅτι οὐδὲ ἐπὶ τῶν καθ' ἡμᾶς ὄντων, καὶ ὁπωσοῦν ἐγνωσμένων, λέγω δὴ τῶν κτισμάτων ἐκ ἀναγκαῖος ὁ λόγος, οὐδ' ἀληθὴς ὅλως, ἐ μόνον ὅτι τὸ μὴ καθόλε ἀποδίδωσιν ὡς καθόλε, ἀλλ' ὅτι καὶ ἐν οἷς ἡ ὑλικὴ διάκρισις, ἢ ἡ κατὰ ἀντίθεσιν θεωρεῖται, ἐκ αὐτὴ τὴν αἰτίαν τῆς διακρίσεως ἡ ὕλη, ἢ ἡ ἀντίθεσις ἔχει, ἀλλὰ διακεκριμένοις ἤδη καθάπερ τὶ παρακολάθημα ἕπεται τούτων ἑκάτερον, ἐμφαῖνον μὲν ὅτι καθ' ἑαυτὸ διακρίνεται τὰ διακεκριμένα, τῆς δὲ διακρίσεως αἴτιον οὐ ἀδαμῶς· σκεπτέον δὲ ἔτως· ἡ ὕλη καθ' ἑαυτὴν ἐστὶν ἀδιαίρετος· ὥσπερ γὰρ ἄποιος, ἔτω καὶ ἄποσος, τὸ δ' ἄποσον δὲ ἀδιαίρετον· τὸ ἀδιαίρετον δὲ ἀδιάκριτον· ὃ δὲ καθ' αὑτὸ μὴ διαιρεῖται, καὶ διακρίνεται, πῶς ἂν ἑτέρῳ τὴν αἰτίαν παρέχῃ διακρίσεως, καὶ ὁ τὴν ἑτερότητα μὴ προσίεται; πᾶσα γὰρ ὕλη πάσῃ ὕλῃ ἐστὶν ἀδιάφορος κατὰ τὸν οἰκεῖον λόγον, πῶς ἂν ἑτέροις αἴτιον γένηται τοῖς ἑτέροις ἀλλήλων εἶναι; ἀλλ' ὅτι τὸ ὑλικὸν σῶμα κατ' αὐτὴν τὴν ὕλην εἰς μέρη ποσὰ διαιρεῖται, καὶ ἔστι λαβεῖν ἕκαστον τούτων, καὶ αὐτὰ μέρος θεῖναι, καὶ δεῖξαι τὸ δέτι ὄν, καὶ ἐχ ὅπερ ἕτερον, ὑλικὴ διάκρισις τὸ τοιοῦτον καλεῖται, τοῦτο δὲ ἐ τὴν ὕλην εἰσάγει τῆς διακρίσεως· πῶς γὰρ τὴν καθ' αὐτὴν ἀδιάκριτον, ἀλλὰ τὴν κατὰ τὴν ὕλην διαίρεσιν, ἀφ' ἧς καὶ τὸ ποσὸν τοῖς διακρινομένοις ἕπεισιν ὥσπερ καὶ τὸ ἐνεργεῖν ἐ τὸ εἶδος, τοῖς σώμασιν αἴτιον; πῶς γὰρ τὸ καθ' αὑτὸ ἀνενέργητον, ἀλλ' ἡ πρὸς τὴν ὕλην αὐτοῦ σύνοδος; ἐ γὰρ ἔτι τῷ συνθέτῳ κατάστι τῶν ἐν αὐτῷ ἁπλῶν ὑπάρχει, καὶ τῷ ἄλλῳ Κυρίως ὑπάρξει; ἐτ' ἄρα τῷ εἴδει τὸ ἐνεργεῖν ὑπάρχει, καίτοιγε κατὰ τὸ εἶδος τοῖς σώμασιν ἡ ἐνέργεια, ἔτε τῇ ὕλῃ διακρίνειν, καίτοιγε κατ' αὐτὴν ἡ διάκρισις τοῖς συνθέτοις· ἐκ ἄρα τὴν ὕλην ἀποδιδόντες αἰτίαν τῆς διακρίσεως, ὑγιῶς ἂν ἀποδεδοκότες ἔημεν, ἀλλὰ τὴν κατὰ τὴν ὕλην διαίρεσιν, ἐφ' ὧν ἡ ὕλη τὴν χώραν ἔχει· πάλιν δὲ, ἐφ' ὧν ἡ ὕλη μὴ ἐστὶ, σκεπτέον εἰ ἀναγκαία πρὸς τὴν διάκρισιν ἡ ἀντίθεσις τὰ ἀπὸ τοῦ αὐτοῦ

αὐτῷ διαιρέμενα γένες, ἀντιδιαιρέμενα ἀλλήλοις λέγεται, πάντα μὲν ἴσως, μάλισα δὲ τὰ πλεῖσον ἀλλήλων διεζηκότα, ἢ τὰ πλεῖσον διεζηκόσιν ἀφοριζόμενα· οἷον ἀπὸ τοῦ χράματος πλεῖσον διεζηκότα, τὸ λευκὸν καὶ τὸ μέλαν, ταῦτα δὲ καὶ ἐναντία καλεῖται, ἀπὸ δὲ τοῦ ζῴε τοῖς πλεῖσον διεζηκόσιν ἀφοριζόμενα, τῷ λογικῷ φημὶ καὶ ἀλόγῳ, ἄνθρωπός τε καὶ ἵππος· ἆρ' ἓν ταῦτα μόνα διακέκριται ἀλλήλων ἐφ' ὧν ἡ ἀντίθεσις εἴτεν ἐναντίωσις, ἢ καὶ τὰ μεταξὺ τούτων καὶ σὺν αὐτοῖς διαιρέμενα; πάντως δήπε κἀκεῖνα· τῷ γὰρ κοινῷ γένει συνῆπλαι πάντα, διακέκριται δὲ τοῖς ἀφοριτικοῖς ἕκασον δηλονότι λόγοις· ἢ καὶ μὴ πλεῖσον ἀλλήλων διέζηκεν, ἢ καὶ θατέρε τῶν ἐναντίων μᾶλλον μετέχει· τὶς γὰρ ἀντίθεσις ἢ κιρρὸς πρὸς ἐριθρὸν ἐν τῷ χράματι, τὶς δὲ ἵππε πρὸς βοῦν ἐν τῷ ζῴῳ; ἀλλ' ἐπειδὴ τῷ αὐτῷ διήρηται γένες, καθ' ὅσον μὲν ἐκεῖθεν διήρηται, τῷ κοινῷ διακέκριται, καθὸ δὲ ἀλλήλοις ἀντιδιήρηται, καὶ ἀλλήλων δήπεθεν διακέκριται τοῖς ἰδίοις λόγοις, εἰ καὶ μὴ πάντας ἡμεῖς ἀποδιδόναι ῥᾴδιας ἔχομεν· ἐκ ἄρα τὴν ἀντίθεσιν αἰτιατέον τῆς διακρίσεως, οὐδ' ἐνταῦθα· πῶς γὰρ, ἥτις ἐπὶ τῶν πλείσων ἐκ ἔχει χώραν, ἀλλὰ πρὸ αὐτῆς τὴν διαίρεσιν, ἥτις ἀπὸ τοῦ αὐτοῦ τοῖς ἰδίοις λόγοις ἕκασον διαιρεῖ· ταύτην δὲ καὶ τῆς ἀντιθέσεως αἰτίαν ἀποδιδόναι παντάληθες, ἀλλὰ καὶ ἐπὶ τῶν ἀτόμων ὁ αὐτὸς δήπε τῆς διακρίσεως λόγος· τὶ γὰρ εἰ μὴ κἀκεῖνα ὕλης μετέχει; τὶ δὲ, εἰ μηδ' ἀντίθεσιν ἐσὶν εὑρεῖν ἐν αὐτοῖς; ἆρα διὰ τοῦτο ἡμῖν ἀδιάκριτα ἔσαι, καὶ ἐν ἀριθμῷ πάντα γενήσεται; πολὺ γὰρ ἂν ἔτω τερατολογήσειεν ἡ τῶν Λατίνων τεχνολογία· ἀλλ' ἡ ἀπὸ τοῦ αὐτοῦ εἴδες κἀκεῖ διαίρεσις τοῖς οἰκείοις ἕκασον ἀφορίζουσα λόγοις τὴν διάκρισιν ἀπεργάζεται· εἰ δὲ τὲς λόγες ἡμεῖς ἀγνοοῦμεν, θαυμαστὸν οὐδέν· ὅπεγε καὶ τῶν πλειόνων εἰδῶν τὲς λόγες ἐκ ἂν ἔχοιμεν ἀποδοῦναι ῥᾳδίως· ἐκεῖνο γεμὴν ὁμολογούμενόν ἐστιν, ὡς ἐπὶ τοῦ αὐτοῦ πλείω διήρηται, τοῦτο δ' ἀδύνατον ἦν, εἰμὴ ἀλλήλων τε καὶ τῶν ἐξ ὧν διήρηται διακέκριντο· προσεχῶς ἄρα καὶ πρώτως ἡ διαίρεσις αἰτία τῆς διακρίσεώς, ἀχ ἡ ὕλη ἢ ἡ ἀντίθεσις· ἔτε γὰρ ἐπὶ πάντων, ἔτε κρίσεις αὗται διακρίνειν πεφύκασι· καὶ μὴν καὶ αὐτὸ τοῦτο συγγενὲς ἡ διαίρεσις ἔχουσα τῇ διακρίσει, δῆλον ἡμῖν καθίστησιν, ὡς αὐτὴ τὴν αἰτίαν αὐτῇ παρέχεται, τὶ ἔτι τὴν τῶν πρός τι ἀντίθεσιν, ἣν ἀναφορικὴν καλοῦσι, διακρίνειν; Φασὶ ἱκανωτάτην εἶναι; καὶ τοῦτο δὲ ὅτι κενὸν ἐσὶν ὅλον, οὐδὲ λόγε δεῖται δεικνῦναι. πρῶτον μὲν γὰρ ὑσερογενὴς αὕτη τῆς Φύσεως, πρῶτον γάρ τις ἄνθρωπος ἦτα Πατὴρ· καὶ πρῶτον μέγεθος, εἶτα διπλάσιον, ἔπειτα καὶ συνεισάγειν ἄλληλα τὰ πρός τι πεφύκασι, τοῦτο δὲ συνάπτειν μᾶλλον, ἢ διακρίνειν ἐσὶν· ἔπειτα ἐν τῷ αὐτῷ καὶ ἅμφω, κἂν μὴ πρὸς τὸ αὐτὸ συνδραμεῖν ἐνδέχεται· ταῦτα δὲ πάντα διακρίσεως πόρρω· μάτην ἄρα καὶ εἰκῆ τοῖς Λατίνοις ὁ πολυθρύλλητος λόγος τῆς διακρίσεως κατὰ τὴν ὕλην, ἢ τὴν ἀντίθεσιν ἐντοξεύεται.

Φέρε δὴ μεταγάγωμεν τὸν ἡμέτερον λόγον ἐπὶ τὰ Θεῖα. τάχα γὰρ ἐφαρμόσει μᾶλλον αὐτοῖς ἔτος, ἢ οὗ οἱ Λατῖνοι λέγουσιν· ἡ ἀπὸ τοῦ αὐτοῦ διάφορος πρόοδος ἔοικε τῇ μάλα τῇ διαιρέσει, πρόοδος γάρ τις καὶ ἡ διαίρεσις· καὶ καθάπερ ἐκεῖ τὰ ἀπὸ τοῦ αὐτοῦ διαιρέμενα, κἂν μήπω πρὸς τὸν ἀντικείμενον ἀποστῇ χῶρον, εὐθὺς οἱ ἀφοριτικοὶ λόγοι παραλαβόντες, ἀλλήλων τε διακρίνουσι, καὶ τοῦ ἐξ οὗ διηρέθησαν· ἄλλως γὰρ ἐκ ἂν διηρέθησαν· ἕτω καὶ ἐνταῦθα, λέγω δὴ ἐπὶ τῶν Θείων προσώπων, ὁ Υἱὸς καὶ τὸ Πνεῦμα τοῦ αὐτοῦ Πατρὸς προελθόντα κατὰ διάφορον τρόπον αὐτῷ τούτῳ καὶ τοῦ Πατρὸς διακέκριται καὶ ἀλλήλων, ἐκεῖνα μὲν ὅτι ἐξ ἐκείνε· πᾶν γὰρ τὸ προϊὸν ἔκτινος, τοῦ ἐξ οὗ προῆλθεν ἕτερον δήπεθεν· ἀλλήλων δὲ, ὅτι κατὰ διάφορον τρόπον, εἰ καὶ ἄγνωστος ἡμῖν ἔτός ἐστι καὶ ἀπόῤῥητος· ἐκ ἄρα δεῖ τῆς ἀντιθέσεως ἡμῖν πρὸς διάκρισιν Υἱοῦ καὶ Πνεύματος, ὡς ὁ Θωμᾶς ἀξιοῖ, ἧς οὐδὲ ἐπὶ τῶν καθ' ἡμᾶς ὄντων ἔδει. ἱκανὴ γὰρ ἡ διάφορος πρόοδος αὐτὰ διακρίνειν, καὶ τοῦτο καὶ τοῖς οὖσι σύμφωνον, καὶ τοῖς τῶν Ἁγίων δόγμασιν, εἴπερ ἐκεῖνοι τὴν διάκρισιν πλήρη παραδεδάκασι· λέγει γὰρ ὁ Δαμασκηνὸς Θεολόγος, ἐν ἡ. τῶν Θεολογικῶν· „εἰ καὶ „τὸ Πνεῦμα τὸ Ἅγιον ἐκ τοῦ Πατρὸς ἐκπορεύεται, „ἀλλ' οὐ γεννητῶς, ἀλλ' ἐκπορευτῶς, ἄλλος τρό„πος ὑπάρξεως ἔτος, ἀληπλόστε καὶ ἄγνω„στος, ὥσπερ καὶ ἡ τοῦ Υἱοῦ γέννησις· καὶ ὁ Θεο„λόγος Γρηγόριος· αἱ δὲ ἰδιότητες, Πατρὸς μὲν „καὶ ἀναρχε, καὶ ἀρχῆς ἐπινοούμενε καὶ λε„γόμενε, Υἱοῦ δὲ ἡ γέννησις, Πνεύματος δὲ ἡ „ἐκπόρευσις.

ΚΕΦΑΛΑΙΟΝ κς'.

Ὥσπερ ἐδὲν συντελεῖ τῷ Πατρὶ τὰ ἐξ αὐτῆ Θεῖα πρόσωπα πρὸς τὴν αὐτῆ ὕπαρξιν· ὅλον γὰρ παρ' ἐκεῖνα καὶ ἐντελὲς ἔχει τὸ εἶναι, κατὰ τὸν αὐτὸν τρόπον, ἐδὲν πρὸς τὴν ἀλλήλων ὕπαρξιν, ἐδὲν αὐτῷ συντελέσει, ἔτε ἄρα τῷ Πατρὶ συναίτιον εἰς τὴν τῆ Υἱῆ γέννησιν τὸ Πνεῦμα τὸ Ἅγιον, ἐθ' ὁ Υἱὸς τῷ Πατρὶ πρὸς τὴν τῆ Πνεύματος προβολήν· πλήρης γὰρ ἡ γεννητικὴ καὶ προβλητικὴ ἐνέργεια, καὶ μία παρ' ἑνὸς ἑκάτερα πρὸς τὴν ἑνὸς ὕπαρξιν.

ΚΕΦΑΛΑΙΟΝ κζ'.


Ὥσπερ τὸ ἐνεργῆν ὡρισμένως ὡρισμένην εἰσάγει καὶ τὴν ἐνέργειαν, ἕτω καὶ ἡ ὡρισμένη ἐνέργεια πρὸς ὡρισμένον τὸ ἐνεργῆν ἀναφέρεται· εἰ τοίνυν τὸ γεννᾶν ὁμῆ καὶ προβάλλειν ἑνὸς ἐστὶ τῆ Πατρὸς ὡρισμένη ἐνέργεια, τὸ δὲ προβάλλειν μόνον, ἐ μὴν καὶ γεννᾶν, ἑνὸς ἐστὶ προβολέως ὡρισμένη ἐνέργεια τῆ Πατρὸς, καὶ Υἱῆ κατὰ τὲς Λατίνες, τὸ δὲ γεννᾶθαι τῆ Υἱῆ αὖθις ὡρισμένη ἐνέργεια, καὶ τὸ ἐκπορεύεθαι τῆ Ἁγίε Πνεύματος, τέσσαρα ἔσαι τὰ ὡρισμένως ἐνεργῆντα ἐν τοῖς Θείοις προσώποις, εἷς Πατὴρ, εἷς προβολεὺς, ἕτεροι ἀλλήλων τῷ ἀριθμῷ ὄντες, εἷς Υἱὸς, καὶ ἓν Πνεῦμα Ἅγιον· τέσσαρα δὲ ὡρισμένως καὶ διαφόρως ἐνεργῆντα, τί ἄλλο, ἢ τετράδα προσώπων ἀντὶ Τριάδος εἰσάγει; μάτην ἄρα Λατῖνοι τὴν εἰς τριάδα πίστιν αὐχῆσιν, ἕτως αὐτὴν τοῖς οἰκείοις δόγμασι καθυβρίζοντες.

ΚΕΦΑΛΑΙΟΝ κή.

Τὸ τῆς Θεότητος αἴτιον, ἢ τῶν ὑποσάσεων ἐστὶν ἴδιον τῆ Πατρὸς καὶ τῆ Υἱῆ κατὰ τὲς Λατίνες, ἢ τῆς αὐτῶν Φύσεως, ἢ ἐνεργείας τινός· εἰ μὲν ἓν τῶν ὑποσάσεων ἐστὶν ἴδιον, πῶς ὁ δύο τὰ αἴτια; δύο γὰρ αἱ ὑποσάσεις, καθάπερ καὶ τὸ αἰτιατὸν δυσὶ προσὶν ὑποσάσεσι, δύο καὶ τὰ αἰτιατὰ πάντως εἰσάγει. εἰ δὲ τῆς αὐτῶν Φύσεως ἐξισάσει πάντως αὐτῆ, καὶ τῆ ἐπὶ πλέον ἔσαι· τὸ γὰρ Πνεῦμα ἐκ ἔστιν αἴτιον· ἔτι ἄρα Πατρὸς καὶ Υἱῆ Φύσις, τῆτο Θεότητος αἴτιον, καὶ ἔτι Θεότητος αἴτιον, τῆτο Πατρὸς καὶ Υἱῆ Φύσις, ἀλλότριον ἄρα τὸ Πνεῦμα τῆς τῆ Πατρὸς καὶ Υἱῆ Φύσεως, ὥσπερ καὶ τῆ αἰτίε ἀλλότριον· καὶ τὶ ἔτι Μακεδονίῳ Λατῖνοι μέμφονται; Εἰ δὲ ἐνεργείας τινὸς ἐστὶν ἴδιον, ζητητέον, εἰ μίᾳ τῷ ἀριθμῷ ἐστὶν αὕτη, ἢ δύο· καὶ εἰ μὲν δύο, δύο πάλιν ἐξ ἀνάγκης ἔσαι τὰ αἴτια· εἰ δὲ μία, ζητητέον αὖθις, εἰ προσωπικὴ ἔστιν αὕτη, ἢ Φυσική; καὶ εἰ μὲν Φυσικὴ, Φυσικῆς τινος ἐνεργείας ἔσαι τὸ Πνεῦμα ἀλλότριον, καὶντεῦθεν δὴ καὶ τῆς Φύσεως· εἰ δὲ προσωπικὴ, πρὸς ἓν πρόσωπον ὡρισμένως ἀνενεχθήσεται. μίᾳ γὰρ τῷ ἀριθμῷ προσωπικὴ ἐνέργεια, πάσαις ἀνάγκαις ἑνὸς ἔσαι προσώπε, πρὸς ἓν ἐνέργημα τείνσα. μάτην ἄρα Λατῖνοι τὴν μίαν τῷ ἀριθμῷ προβλητικὴν ἐνέργειαν, καὶ ἰδιότητα τῷ Πατρὶ καὶ τῷ Υἱῷ διδάσιν.

ΚΕΦΑΛΑΙΟΝ κθ'.

Ἡ μία τῷ ἀριθμῷ καὶ ἁπλὴ ἐνέργεια, καὶ πρὸς ἓν ἐνέργημα τείνσα, καὶ πρὸς ἓν ἀριθμῷ τὸ ἐνεργῆν ἀναφέρεται· ἔσω τὸ ἐνεργῆν ἐφ' ᾧ τὸ, ά. τὸ πρὸς ὃ ἡ ἐνέργεια ἐφ' ᾧ τὸ γ'. μεταξὺ δὲ αὐτῶν ἐνέργεια μία τῷ ἀριθμῷ ἡ, αγ'. λέγω ὅτι καὶ τὸ ἐνεργῆν ά. ἓν ἐστιν ἀριθμῷ· μὴ γὰρ, ἀλλ' ἔσω δύο τὸ αβ'. τὸ δὲ β'. ἤτοι μέρος ἐστὶν αὐτῆ ά. ἢ χωρὶς ἀντικείμενον. Εἰ μὲν ἓν μέρος ἐστὶν αὐτῆ, ἐκ ἄλλο παρ' αὐτό ἐστιν, ἀλλ' ἓν μετ' αὐτῆ. καὶ ἕτω πάλιν ἔσαι τὸ ὅλον ἓν ἀριθμῷ· εἰ δὲ χωρὶς αὐτῆ κεῖται· κείσθω κάτωθεν ά. ἡ δὲ ἀπὸ τῆ ά. πρὸς τὸ γ'. ἐνέργεια, ἤτοι ὁμαλὴ καὶ συνεχὴς ἐστὶ μία τῷ ἀριθμῷ ἅσα· δῆλον ὅτι ἐδὲν αὐτῇ συμβαλεῖται τὸ β'. μεταξὺ κείμενον, ἀλλ' ἤτοι ἐκ ἐνεργήσει ἢ ἐ πρὸς τὸ γ'. καθάπερ τὸ ά. Εἰδ' ἀνώμαλός ἐστι, δῆλον ὅτι ἐπίτασίν τινα δέξεται κατὰ τὸ β'. καὶ σφοδροτέρα ἑαυτῆς ἔσα, καθάπερ τὶς ποταμὸς προσλαμβάνων ἕτερον ῥεῦμα. τῆτο δὲ ἐκ ἔστι μιᾶς ἐνεργείας καὶ συνεχῆς ἴδιον· διακοπὴ γάρτις μεταξὺ γενήσεται, καὶ συμβολὴ τῆς ἀπὸ τῆ β'. ἐνεργείας, καὶ ἕτω διπλῆ ἡ ἐνέργεια ἔσα, καὶ ἐχ ἁπλῆ, ἐδὲ μία. τὰ δ' αὐτὰ καὶ εἰ ἄνω τῆ ά. τὸ β'. κεῖται συμβήσεται· ἀλλὰ



Πνεῦμα Ἅγιον.

ἀλλὰ δὴ κείσθω ἐκ πλαγίε τῆ ά. δῆλον δὴ ἐνταῦθα πολλῷ μᾶλλον, ὅτι δύο εἰσὶν αἱ ἐνέργειαι· μία μὲν ἡ ἀπὸ τῆ ά. πρὸς τὸ γ'. ἑτέρα δὲ ἡ ἀπὸ τῆ β'. πρὸ τὸ αὐτὸ γ'. ἀδύνατον ἄρα μίαν τῷ ἀριθμῷ ἐνέργειαν πρὸς δύο τὰ ἐνεργῆντα τὴν ἀναφορὰν ἔχειν, καθάπερ ἀδύνατον μιᾶς γραμμῆς ἐκ θατέρε μέρες δύο τὰ πέρατα εἶναι· μία ἄρα τῷ ἀριθμῷ ἐνέργεια, πρὸς ἓν ἀριθμῷ τὸ ἐνεργῆν ά. ὁ Πατήρ τε καὶ προβολεὺς, τὸ πρὸς ὃ ἡ ἐνέργεια γ'. ἡ τῆ Ἁγίε Πνεύματος ὕπαρξις, μεταξὺ δὲ αὐτῶν ἡ προβλητικὴ μία καὶ ἁπλῆ καὶ ἀΐδιος ἐνέργεια· τὸ β'. δὲ ὁ Υἱός· πρὸς μόνον ἄρα τὸν Πατέρα, καὶ ἐ πρὸς τὸν Υἱὸν ἀναφέρεται ἡ προβλητικὴ τῆ Πνεύματος μία προσωπικὴ ἐνέργεια. τῆτο καὶ Ἀριστέλης ἐν τῷ πέμπλῳ τῆς Φυσικῆς ἀκροάσεως ῥητῶς ἀποφαίνεται· „λέγει γάρ, μία „ἀριθμῷ ἐνέργεια, ἑνὸς ἀριθμῆ· καὶ ἔτι ἐν τῷ ἕν„νατῳ τῆ αὐτῆ Βιβλίε, μία κίνησις ἡ ὑφενός τε „τῆ κινῆντος καὶ τῆ κινεμένε· εἰ γάρ τι ἄλλο καὶ „ἄλλη κινήσει, ἐ συνεχὴς ἡ ὅλη κίνησις.

ΚΕΦΑΛΑΙΟΝ λ'.

Τὸ ἐκ Πατρὸς εἶναι κοινὸν Υἱῷ καὶ Πνεύματι Γρηγόριος ὁ Θεολόγος ἀποδέδωκε· εἰ δὲ ὁ μὲν Υἱὸς ἀμέσως ἐκ τῆ Πατρὸς, καὶ μηδένα ἕτερον αἴτιον ἔχων, τὸ Πνεῦμα δὲ ἐκ ἀμέσως, ἀλλὰ συναίτιον ἑαυτῆ τὸν Υἱὸν ἔχον, ἐκ ἔτι κοινὸν αὐτοῖς ἔσα τὸ ἐκ Πατρὸς, ἃ μὴ ἐπίσης μετέχεσι· ἢ τοίνυν τὸν Θεολόγον ἀνάγκη ψεύδεθαι, ἢ εἰμὴ τῆτο πάντητε καὶ πάντως Λατῖνοι ψεύδονται τῷ Υἱῷ τὴν αἰτίαν διδόντες.


ΚΕΦΑΛΑΙΟΝ λά.

Τρόπον ὑπάρξεως καὶ ἰδιότητος τῆ Ἁγίε Πνεύματος οἱ Θεολόγοι Φασὶν, ἃ τὸ ἐκπορεύεθαι ἁπλῶς, ἀλλὰ τὸ ἐκ τῆ Πατρὸς ἐκπορεύεθαι· εἰ δὴ τῆτο τρόπος αὐτῷ ὑπάρξεως, καὶ ἰδιότητός ἐστι, τὸ ἐκ τῆ Υἱῆ ἐκπορεύεθαι, ἢ μάτην αὐτῷ πρόσεσιν, ἢ προσίθησίτι τῇ ὑπάρξει, καὶ διπλῆν ποιεῖ τὴν αὐτῆ ἰδιότητα.

ΚΕΦΑΛΑΙΟΝ λβ'.

Ὅταν μίαν ἀρχὴν τῶν κλισμάτων λέγωμεν τὸν Πατέρα ἢ τὸν Υἱὸν ἢ τὸ Πνεῦμα τὸ Ἅγιον, δῆλον ὅτι τὴν Θείαν Φύσιν πρὸς τὰς λοιπὰς συγκρίνοντες τῆτο λέγομεν, ἥτις ἐστὶ μία, πολλῶν ἐκείνων καὶ διαφόρων ἁσιῶν· κατὰ τὸν αὐτὸν δὲ τρόπον καὶ ὅταν μίαν ἀρχὴν Θεότητος λέγωμεν, ἓν πρόσωπον δηλονότι πρὸς τὰ λοιπὰ συγκρίνοντες τῆτο φαμέν· καὶ ὥσπερ ἐδὲν τῶν κλισμάτων εἰς τὴν μίαν ἀρχὴν κατὰ τὴν Θεότητα παραλληπλέον ἐστί· τὸ γὰρ ἓν τῶν πλειόνων ἀρχὴν εἶναι μᾶλλον εἰκὸς, ἢ τὰ πλείονα τῆ ἑνὸς, μόνον ἄρα ὁ Πατὴρ ἀρχὴ μία τῆ Υἱῆ καὶ τῆ Πνεύματος, ὥσπερ καὶ μόνη ἡ τριὰς ἀρχὴ μία πάσης τῆς κλίσεως. τῆτο δὲ καὶ ὁ Θεῖος Διονύσιος διαῤῥήδην Φησί· μόνη πηγὴ τῆς ὑπερσσίε Θεότητος ὁ Πατήρ.

ΚΕΦΑΛΑΙΟΝ λγ.



Ἡ παρὰ τῆ αὐτῆ ἐνεργῆντος ἐν τῷ αὐτῷ χρόνῳ διάφορος ἐνέργεια, διάφορον ἀποτελεῖ τὸ ἐνέργημα· ἔσω τὸ αὐτὸ ἐνεργῆν ἐφ' ᾧ τὸ ά. ἐνέργειαι δὲ αὐτῶν ἐν τῷ αὐτῷ χρόνῳ, μία μὲν ἡ πρὸς τὸ β'. ἑτέρα δὲ διάφορος πρὸς αὐτὴν ἡ πρὸς τὸ γ'. λέγω ὅτι ἢ τὸ γ'. διάφορον ἔσαι τῆ β'. εἰ γὰρ τὸ αὐτὸ, ἐφαρμόσει πάντως αὐτῷ, καὶ ἡ πρὸς αὐτὸ δὲ ἐνέργεια ἐφαρμόσει τῇ πρὸς τὸ β'. ἐνέργεια μία ἄρα καὶ ἡ αὐτὴ ἔσαι· ἀλλ' ὑπέκειντο εἶναι δύο, καὶ πρὸς ἀλλήλας διάφοροι, καὶ τὸ γ'. ἄρα διάφορον ἔσαι τῆ β'. ἔσω τὸ μὲν ά. Πατὴρ ὁ ἀΐδιος καὶ Φυσικῶς ἐνεργῶν, τὸ δὲ β'. ὁ Υἱὸς, τὸ δὲ γ'. τὸ Πνεῦμα τὸ Ἅγιον, ἐνέργειαι δὲ διάφοροι πρὸς ἀλλήλας, ἡ πρὸς τὸ β'. μὲν ἡ τῆ Υἱῆ γέννησις, ἡ δὲ πρὸς τὸ γ'. ἡ τῆ Θείε Πνεύματος ἐκπόρευσις· διαφέρον ἄρα τῆ Υἱῆ τὸ Πνεῦμα τὸ Ἅγιον, ἐπεὶ καὶ αἱ πρὸς ὕπαρξιν ἑκατέρε ἐνέργειαι διαφέρεσαι, καὶ ἐκ ἂν ἡμῖν ἔτι δεῖ διακρίσεως ἑτέρας, τῆ Υἱῆ καὶ τῆ Πνεύματος, αὐτῶν τῶν διαφόρων ἐνεργειῶν, καὶ προόδων διακρίνειν αὐτὰ δυναμένων.

ΚΕΦΑΛΑΙΟΝ λδ'.

Ἐρωτῶσιν ἡμᾶς οἱ τὰ Λατίνων φρονῆντες, εἰ μετὰ τῆς ἑαυτῆ δυνάμεως καὶ σοφίας ὁ Πατὴρ

τὴρ προβάλλει τὸ Πνεῦμα τὸ Ἅγιον, ἢ ἀσόφως, καὶ ἀδυνάτως, ἵν' εἰ τὸ δεύτερον φεύγοντες τὸ πρῶτον ἀποκρινέμεθα, πρὸς τὴν ἑαυτῶν ἡμᾶς ἐπαγάγωσι δόξαν, ὅτι ἡ σοφία καὶ δύναμις τῦ Πατρὸς ἐστὶν ὁ Υἱὸς, μετὰ τῦ Υἱῦ ἄρα προβάλλει τὸ Πνεῦμα τὸ Ἅγιον ὁ Πατὴρ, καὶ ὁ μόνος αὐτός.

Ὅτι μὲν ἓν μετὰ τῦ Υἱῦ προβάλλει τὸ Πνεῦμα τὸ Ἅγιον ὁ Πατὴρ, εἰτῶν μετὰ τῦ λόγυ καὶ τῆς σοφίας καὶ τῆς δυνάμεως, ἀδ' ἡμεῖς ἀρνησόμεθα, συμπρόεισι τῷ λόγῳ κατὰ τὰς Θείας Πατέρας τὸ Πνεῦμα τὸ Ἅγιον, καὶ συμπαρομαρτεῖ, καὶ συναναφαίνει αὐτόν· ἢ ἔστε λόγος ἐστὶν ἄνευ Πνεύματος, ἔστε τὸ Πνεῦμα πρόεισιν ἄνευ λόγυ, πλὴν ἐχ ἕτως ὥστε καὶ τὸν Υἱὸν αἴτιον τῆς τῦ Πνεύματος ὑπάρξεως εἶναι, καθάπερ ἀδὲ τῦ Υἱῦ αἴτιον· τὰ γὰρ ὁμῦ καὶ καθ' αὑτὸ ἕκτινος προϊόντα, καὶ ἀλλήλων αἴτια εἶναι ἀδύνατον· ἀ τοίνυν ἅμα τῦ Υἱῦ πρόεισι, καὶ ἐκ τῦ Υἱῦ προϊέναι ἀνάγκη τὸ Πνεῦμα τὸ Ἅγιον· εἰ δὲ μὴ τῶν κλισμάτων ἀδὲν διοίσει τῶν διὰ λόγυ Θεῦ καὶ δυνάμεως καὶ σοφίας γεγεννημένων.

„Πάντα γάρ φησι δι' αὐτῦ ἐγένετο, καὶ χωρὶς „αὐτῦ ἐγένετο ἀδὲ ἓν ὃ γέγονεν, ἀδὲ δι' αὐτῦ τὸ „εἶναι ἔχειν ἀνάγκη. Ἔπειτα ἐχ ἕτω σοφία καὶ δύναμις τῦ Πατρὸς ἐστὶν ὁ Υἱὸς ὡς Υἱὸς, ἢ Λόγος· Υἱὸς μὲν γὰρ καὶ Λόγος ἕτως ἐστὶ τῦ Πατρὸς, ὡς μὴ ὄντος αὐτῦ Υἱῦ, μηδὲ Λόγυ· πρὸς τὸν Πατέρα γὰρ ὁ Υἱὸς ἀναφέρεται, καὶ πρὸς τὸν λέγοντα ὁ Λόγος· σοφία δὲ καὶ δύναμις ἕτως ἐστὶ τῦ Πατρὸς, ὡς καὶ αὐτῦ σοφίας καὶ δυνάμεως ὄντος, καὶ ὁ σοφῦ καὶ δυνατῦ μόνυ· σοφία γάρ ἐστιν ἐκ σοφίας, καὶ δύναμις ἐκ δυνάμεως. ὥσπερ Θεὸς ἐκ Θεῦ, καὶ Φῶς ἐκ Φωτός· λέγεται δὲ τῦ Πατρὸς σοφία καὶ δύναμις, ὡς ὅλην αὐτῦ τὴν σοφίαν καὶ τὴν δύναμιν ἔχων, ὡς ἂν εἰκὼν ἀρχετύπε· ἀλλὰ καὶ τὸ Πνεῦμα τὸ Ἅγιον ἀδὲν ἦττον σοφίας καὶ δύναμις, καὶ τῦτό γε ἀδεὶς ἀντερεῖ τῶν τὰς γραφὰς ὀδότων, καὶ ὅτι κοινὰ καὶ ἀσιώδη τῶν Θείων εἰσὶ προσώπων ταῦτα τὰ ὀνόματα· καὶ ὁ Θεῖος δὲ Αὐγυστῖνος ἐν τῷ περὶ Τριάδος Βιβλίῳ τύτοις συμμαρτυρεῖ· εἰ τοίνυν σοφία καὶ δύναμις ἐκ σοφίας καὶ δυνάμεως τῦ Πατρὸς ἐκπορεύεται τὸ Πνεῦμα τὸ Ἅγιον, περιττόν ἐσι καὶ μάταιον ἐρωτᾶν, εἰ μετὰ τῆς ἑαυτῦ σοφίας καὶ δυνάμεως ὁ Πατὴρ προβάλλει τὸ Πνεῦμα τὸ Ἅγιον, εἰ μήτις αὐτὸ κλίσμα βέλοιτο κατασκευάζειν, καθάπερ ἔρηται· „ὁ Θεὸς τῇ σοφίᾳ ἐθε„μελίωσε τὴν γῆν, ἡτοίμασε δὲ ἀρανὲς ἐν Φρονήσει. ἀλλ' ἔτε διὰ μέσης σοφίας καὶ δυνάμεως ὁ Πατὴρ ἦλθεν ἐπὶ τὴν τῦ Πνεύματος ἐκπορευσιν, ὥσπερ ἀδὲ ἐπὶ τὴν τῦ Υἱῦ γέννησιν, ἔτε διὰ μέσης Θεότητος ὅλως, τῶν γὰρ κλισμάτων ἴδιον τὸ τοιῦτον οἱ Θεολόγοι φασίν· ἀμέσως ἄρα καὶ ἐξ αὐτῆς τῆς ἀσίας τῦ Πατρὸς ἐπίσης ἄμφω προΐασιν ὁ Υἱὸς καὶ τὸ Ἅγιον Πνεῦμα, καὶ μετὰ ἀλλήλων, ἐκ ἐξ ἀλλήλων δὲ, ἀδ' ὅλως ἐκ θατέρυ θάτερον.

ΚΕΦΑΛΑΙΟΝ λέ.

Ἔτι ἐπὶ πλειόνων ἐνικῶς ἐν τοῖς Θείοις προσώποις λέγεται, ἢ ἀσία πάντως, ἐκ ἀσιῶδες ἐσὶ, ὥσπερ γὰρ ἕν ἐσι πάντη, καθ' ὃ τῶν λοιπῶν ἕκαστον τῶν προσώπων χωρίζεται, ἕτω καὶ ἕν ἐσι πάντη, καθ' ὃ τὰ τρία ἑνίζονται· τῦτο δ' ἐσὶν ἡ μία τῷ ἀριθμῷ ἀσία, ἢ τι τῶν ἀσιωδῶς αὐτῇ προσόντων, οἷον ἡ μία θέλησις, ἡ μία ἐνέργεια· λέγομεν γὰρ Θεὸν ἐκ Θεῦ τὸν Υἱὸν, καὶ ἄμφω Θεόν· ἕνα Φῶς ἐκ Φωτὸς, καὶ ἄμφω ἓν Φῶς· σοφίαν ἐκ σοφίας, καὶ ἄμφω μίαν σοφίαν· δύναμιν ἐκ δυνάμεως, καὶ ἄμφω μίαν δύναμιν· κατ' ἀδὲν ἄρα δύνανται ἓν εἶναι τὰ Θεῖα πρόσωπα, εἰ μὴ καθ' ὃ ἐσὶν ἐν αὐτοῖς ἓν, τῦτο δ' ἐσὶν ἀσιῶδες· εἰ τοίνυν καὶ τὸ προβάλλειν ἓν ἐσι ἐν Πατρὶ καὶ Υἱῷ, ἢ κοινωνήσει τότε καὶ τὸ Πνεῦμα τὸ Ἅγιον, ἀσιώδες γε ὄντος, καὶ ἔσαι καὶ αὐτὸ προβάλλειν ἕτερον δήπε πρόσωπον, ἢ ἀσιώδες τινὸς ἀλλότριον ὂν, ἐκ ἄδηλον ὅτι καὶ τῆς ἀσίας ἔσαι, τύτοιν ὁπότερον ἂν βέλοιντο τῶν βαράθρων ἐλέθωσαν οἱ Λατῖνοι, καὶ ἄμφω δ' ἐκτρεπόμενοι τὴν ἑαυτῶν δόξαν ἀπολιπέτωσαν πρότερον, ἤτις ἐξ ἀνάγκης ἐπὶ ταῦτα ἐπάγει.

ΚΕΦΑΛΑΙΟΝ λς.

Εἰ ἐκ τῆς ἀσίας τῦ Πατρὸς ὁ Υἱὸς καὶ τὸ Πνεῦμα, ἐκ δὲ τῆς ἀσίας τῦ Πατρὸς καὶ τῦ Υἱῦ τὸ Πνεῦμα μέσον κατὰ Λατίνυς, ἐκ ἄρα τῶν αὐτῶν αἴτιον ἡ ἀσία τῦ Πατρὸς καὶ τῦ Υἱῦ· τὰ δὲ μὴ τῶν αὐτῶν αἴτια, ἀδὲ τὰ αὐτὰ πάντως· ἄλλο ἄρα ἡ ἀσία τῦ Πατρὸς, καὶ ἄλλο ἡ ἀσία τῦ Πατρὸς καὶ τῦ Υἱῦ, ἐξ ἀνάγκης δὲ καὶ ἡ τῦ Πνεύ-

Πνεύματος ἄλλο· πολλαὶ ἄρα ἀσίαι ἐν τῇ Τριάδι. τῦτο δὲ βλάσφημον καὶ παράλογον.

ΚΕΦΑΛΑΙΟΝ λζ.

Εἰ ὁ μὲν Πατὴρ αἴτιος Υἱῦ καὶ Πνεύματος, ὁ δὲ Υἱὸς τῦ Πνεύματος μόνον, τὰ δὲ μὴ τῶν αὐτῶν αἴτια, ἀδὲ τὰ αὐτὰ πάντως. ἐκ ἄρα ἓν καὶ τὸ αὐτὸ αἴτιον ἐπὶ τῆς Θείας Τριάδος, ἀλλὰ δύο τὰ αἴτια, καὶ μάτην οἱ Λατῖνοι τὰς δύο ἀρχὰς φεύγυσιν.

ΚΕΦΑΛΑΙΟΝ λή.

Ἡ τῦ Υἱῦ προσηγορία δύο ταῦτα σημαίνει, τήν τε πρὸς τὸν Πατέρα χέσιν, καθ' ἣν τὸ εἶναι παρ' αὐτῦ ἔχει, καὶ τὸ πρὸς αὐτὸν ὁμοούσιον. πᾶς γὰρ Υἱὸς τῷ Πατρὶ ὁμοούσιος· ὡσαύτως δὲ καὶ ἡ τῆς γεννήσεως· τήν τε γὰρ αἰτίαν ὅθεν ἔχει τὸ εἶναι, καὶ τὴν ὁμοουσιότητα παρίσησιν ἱκανῶς, ἐχ ἕτω δὲ καὶ ἡ τῦ Ἁγίυ Πνεύματος· ἔτε μὴν ἡ τῆς ἐκπορεύσεως τῦτο δύναται· ἀλλ' ὅταν μὲν ἀκέσωμεν Πνεῦμα Πατρὸς, δῶρόντι τῦ Πατρὸς ἐννοήσαμεν εἰς ἡμᾶς Φθάνον, καὶ ἡμᾶς ἁγιάζον, καὶ ἐν ἡμῖν ἐνεργῶν, λέγει γὰρ ὁ Κύριος. „τὸ „Πνεῦμα τῦ Πατρὸς ὑμῶν τὸ λαλῶν ἐν ὑμῖν· ὅθεν „καὶ Υἱῦ Πνεῦμα αὐτὸ λέγεται· κοινὸν γάρ ἐσι δῶρον ἀμφοῖν, ὡς καὶ ὁ Μακάριος Φησὶν Αὐγυστῖνος· ὅταν δὲ ἀκέσωμεν Πνεῦμα ἐκ Πατρὸς ἐκπορευόμενον, ἐνταῦθα τὴν μὲν αἰτίαν ὅθεν ἔχει τῦ εἶναι, καὶ ἣ ὑπόσασιν αὐτὴν ἐξελάβομεν, ἀ μέν τοι καὶ τὸ ὁμοούσιον· ἔτε ἡ τῦ Πνεύματος φωνὴ, ἔτε μὴν τῆς ἐκπορεύσεως τῦτο δύναται· διὰ τῦτο οἱ Θεολόγοι, ὅταν μὲν τὴν αἰτίαν ἁπλῶς ὅθεν ἔχει τῦ εἶναι παραξῆσαι βέλωνται, Πνεῦμα ἐκ Πατρὸς ἐκπορευόμενον λέγυσιν, ἐξ αὐτῦ τῦ Κυρίε τῦτο παρειληφότες, ἐχ ἡμιτελῶς Θεολογῆντες, ἀδὲ τὸ ἐγγύτερον αἴτιον παραλιμπάνοντες, ἅπαγε τῆς ἀτοπίας· ὅταν δὲ ὁμῦ καὶ τὴν ὁμοουσιότητα δηλῆν ἐθέλωσι, τότε καὶ τὸ δι' Υἱῦ προσιθέασι, καὶ ἐκ Πατρὸς δι' Υἱῦ ἐκπορευόμενον λέγυσιν, ὡσανεὶ λέγοντες ἐκ ἄνευ τῦ Υἱῦ, ἐκ ἑτεροφυῆ παρὰ τὸν Υἱὸν, ἀλλ' ἅμα τῇ γεννήσει νοεῖσθω καὶ ἡ ἐκπόρευσις· ὥσπερ ὅταν λέγωμεν διὰ τοσύτε χρόνε τῦτο γέγονεν, οἱονεὶ συμπροϊόντος τῦ χρόνυ· „ὅθεν καὶ ὁ Θεῖος Μάξιμος, „δι' Υἱῦ γεννηθέντος ἀφράστως ἐκπορευόμενον, ἐκ ἂν προθεὶς τὸ, γεννηθέντος, εἰ μὴ τῦτο νοεῖν ἠβέλετο.

Ὅτι δὲ καὶ οἱ λοιποὶ τῦτο νοῦσι, μάρτυς ὁ αὐτὸς ἐν τῇ πρὸς Μαρῖνον Ἐπιστολῇ, τῦτό τε Ῥωμαίυς λέγων, „ἐκ αἰτίαν τῦ Πνεύματος τὸν Υἱὸν „ποιεῖν, ἀλλ' ἵνα τὸ δι' αὐτῦ προϊέναι δηλώσωσι, „καὶ ταύτη τὸ συναφὲς τῆς ἀσίας καὶ ἀπαράλ„λακτον παρασήσωσιν.

Ἡ δὲ νῦν καταγέλαστος τῶν Λατίνων Θεολογία τὸ ἐγγύτερον αἴτιον ἐκ τῦ δι' Υἱῦ νοῦσα, καὶ τὸν Πατέρα πορρώτερον αἴτιον, καὶ ὁ προσεχὲς τιθεῖσα τῆς Ἁγίε Πνεύματος ὑποσάσεως· ὥσπερ δὲ τὸν Ἑνὸς διὰ τῦ Σηθ ἐκ τῦ Ἀδὰμ λέγομεν, τῆς μὲν τῦ σεπτῦ Γρηγορίε τῦ Νύσσης Φωνῆς ἐκ ἀκύει λεγέσης· „ὅτι ἡ τῦ Υἱῦ μεσιτεία καὶ αὐ„τῷ τὸ μονογενὲς Φυλάτλει, καὶ τὸ Πνεῦμα τῆς „Φυσικῆς πρὸς τὸν Πατέρα χέσεως ἐκ ἀπείργει· βαθμὸς δὲ καὶ ὑποβάσεις ἐπὶ τῆς Ἁγίας Τριάδος εἰσάγει, καὶ τὸν μὲν Πατέρα τίθησιν ἀνώτατόν τε καὶ πρῶτον αἴτιον, τὸν δὲ Υἱὸν κατώτερον, καὶ δεύτερον αἴτιον, ὥσπερ τι διατείχισμα μέσον τῦ Πατρὸς καὶ Πνεύματος, τὸ δὲ Ἅγιον Πνεῦμα κατώτατον καὶ αἰτιατὸν μόνον· καὶ ἕτω εἰς τὸ τριθείας βάραθρον καταπίπλει, καὶ τὰ Θεῖα πρόσωπα περιγράφει, καὶ τὸ Πνεῦμα ὥσπερ υἱωνὸν ἀπεργάζεται.

ΚΕΦΑΛΑΙΟΝ λθ.

Ἐνέτυχόντινι τῶν Λατινικῶν Διδασκάλων ὑπὲρ αὐτῶν γράφοντι· ὅτι ἐχρὴ λέγειν ἐκ Πατρὸς δι' Υἱῦ τὸ Πνεῦμα τὸ Ἅγιον· ἕτω γὰρ δύο τὰ αἴτια καὶ διαφέροντα ἔσαι, τὸ μὲν ἐγγύτερον τὸ δὲ πορρώτερον, ἀλλ' ἐκ Πατρὸς καὶ Υἱῦ (καθάπερ ἓν καὶ ἐν τῷ συμβόλῳ προσέθεται) ἵνα ὡς ἓν αἴτιον ὁ Πατὴρ καὶ ὁ Υἱὸς νοῆται τῦ Ἁγίε Πνεύματος· εἰ ἓν ἕτως ἔχει, καθάπερ ἐκεῖνος φησὶ, πρῶτον αὐτοῖς διέπεσεν, ἡ σπεδαζομένη δῆθεν συμφωνία πρὸς τὰς παρ' ἡμῖν Διδασκάλες, καὶ ἐκ ἔτι λοιπὸν ἐκ τῦ δι' Υἱῦ τὸ προσεχὲς αἴτιον νοητέον, ἀδὲ τὴν (ΔΙΑ) ληπτέον ἀντὶ τῆς (ΕΚ,) ὡς τινες τῶν ἐξ ἡμῶν ἐκπεσάντων ἐλήρησαν· ἔπειτα καὶ ἕτως, εἰ διακεκριμένα πρόσωπα τὸ Πνεῦμα προβάλλει τὸ Ἅγιον, καὶ τὸ μὲν παρ' ἑαυτῷ τῦτο ἔχει, τὸ δὲ ἐκ τῦ ἑτέρυ λαβὸν, δύο πάντως αἴτια κἀντεῦθεν ἔσαι, καὶ τὴν (ΔΙΑ) παρ' ἑαυτῶν ἀπολέ-

ἀπολέσαντες, τὰς δύο ἀρχὰς ἐδ' ἔτως ἐξέφυγον, ἀλλὰ καὶ τὸ τῆ δόγματος αὐτῶν σύμφωνον, καὶ πρὸς ἑαυτὸ μαχόμενον καὶ πανταχόθεν ἀσύσατον ἔδειξαν.

ΚΕΦΑΛΑΙΟΝ μ΄.

Ἠρετόμε τὶς τῶν ἐξ ἡμῶν ἐκπεσόντων, καὶ τῶν Λατίνων ὑπερμαχέντων, εἰ μὴ πᾶν τὸ ἔκτινος διάτινος Φυσικῶς προϊὸν, αἴτιον ἔχει τὸ δι' ὃ πρόεισιν; ἐγὼ δὲ αὐτὸν ἀντηρόμην· εἰ μὴ πᾶν τὸ ἔκτινος διάτινος Φυσικῶς προϊὸν δύο ἔχει τὰ αἴτια τῆς ἑαυτῆ ὑπάρξεως, τό, τε ἐξ ὃ καὶ τὸ δι' ὃ πρόεισι; καὶ γὰρ ὁ ἄνθρωπος ἐξ ἀνδρὸς διὰ γυναικὸς γεννώμενος, ὥς φησιν ὁ Ἀπόστολος, δύο ἔχει τὰ αἴτια τὸν Πατέρα καὶ τὴν Μητέρα δηλονότι, καὶ ὁ Ἰακὼβ τῶ Ἀβραὰμ διὰ τῆ Ἰσαὰκ γεννηθεὶς, δύο ἔχει τὰ αἴτια, τὸ μὲν ἔγγιον τὸ δὲ πορρώτερον, τὸν Πατέρα δηλαδὴ καὶ τὸν Πάππον· εἰ ἓν τοῖς ἐξ ἡμῶν παραδείγμασι τὴν ἑαυτῶν κρατύνειν πειρῶνται Θεολογίαν, ὁμολογήτωσαν καὶ τὰ δύο αἴτια, καὶ τὰς δύο ἀρχάς, καὶ μὴ τὰ ἐξ ἀνάγκης ἑπόμενα τοῖς οἰκείοις λόγοις ἀρνείσθωσαν.

ΚΕΦΑΛΑΙΟΝ μά.

Καὶ πῶς φησὶν ἡ κλῆσις ἐκ Πατρὸς δι' Υἱῆ ἐν Ἁγίῳ Πνεύματι τὸ εἶναι λαβῶσα, ἃ τρία ἔχει τὰ αἴτια, ἀλλ' ἓν αἴτιον, καὶ ἕνα Δημιεργόν; Ἡ κλῆσις ὦ θαυμάσιε (πρὸς αὐτὸν ἔφην) ὅτε ἐκ τῆς οὐσίας ἤρτηται τῆ Πατρὸς, ἢ τῆ Υἱῆ, ὅτε μὴν ἐκ τῆς ὑποσάσεως, ἀλλ' ἐκ τῆς κοινῆς θελήσεως καὶ δυνάμεως, ἥτις ἐστὶ μία καὶ ἡ αὐτὴ τῶν τριῶν· ὅθεν καὶ τὸν ἕνα Θεὸν αἴτιον ἔχει καὶ Δημιεργόν· τὸ δὲ Πνεῦμα τὸ Ἅγιον ἐκ τῆς ὑποσάσεως ἤρτηται τῆ Πατρὸς, εἰ δὲ τὸ αὐτὸ καὶ ἐκ τῆς ὑποσάσεώς ἐστι τῆ Υἱῆ καθ' ὑμᾶς, δύο ὑποσάσεις αἰτίας ἔχον, δύο αἰτίας καὶ δύο ἀρχὰς ἕξει πάντως, εἰ μὴ μεθύομεν· μὴ ἓν ἀνοικείοις παραδείγμασι χρῆσθε πάλιν· ἡ γὰρ κλῆσις ἐ φυσικῶς, ἀλλὰ δημιεργικῶς ἐκ Θεῦ.

ΚΕΦΑΛΑΙΟΝ μβ΄.

Εἰ τὸν Υἱὸν προσεχὲς αἴτιον τῆ Ἁγίε Πνεύματος οἱ Λατῖνοι λέγεσι, τὸν Πατέρα δὲ ὁ προσεχὲς, ταῦτα δὲ ἀντικείμενα, τὰ δ' ἀντικείμενα συνελθεῖν ἀδύνατον, ἐκ ἄρα ἓν αἴτιον ὁ Πατὴρ ἔσαι καὶ ὁ Υἱός· ἀντικείμενα αἴτια δύο ἄρα· καὶ πῆ τὰς δύο ἀρχὰς οἱ χέτλιοι φέυζονται, παντα-χόθεν αὐτοῖς ἑπομένας;

ΚΕΦΑΛΑΙΟΝ μγ΄.

Οἱ Λατῖνοι προσεχὲς, καὶ ὁ προσεχὲς αἴτιον ἐπὶ Πατρὸς καὶ Υἱῆ λέγοντες, καὶ πρῶτον, καὶ δεύτερον, καὶ τρίτον Φυσικῇ τινι τάξει καὶ ἀναγκαίᾳ, δῆλον ὅτι διίξῶσι τῆ Πατρὸς τὸ Ἅγιον Πνεῦμα, καὶ βαθμὲς, καὶ ὑποβάσεις εἰσάγεσιν ἐπὶ τῆς Ἁγίας Τριάδος· καὶ τὸν μὲν Πατέρα μείζονα τῆ Υἱῆ λέγεσι, τὸν δὲ Υἱὸν μείζονα τῆ Ἁγίε Πνεύματος· ἀλλ' ἀκεέτωσαν τῆς πέμπλης Συνόδε τῶν Οἰκεμενικῶν, ὅτι ταῦτα τῆ Ὠριγένες εἰσὶ δόγματα· λέγει γὰρ ὁ ἀοίδιμος βασιλεὺς Ἰεσινιανὸς ἐν τῷ κατ' αὐτῆ λόγῳ περὶ αὐτῆ τάδε, „ὅς τις πρὸ πάντων εἰς αὐτὴν τὴν Ἁγίαν καὶ Ὁ-„μοέσιον Τριάδα βλασφημήσας ἐτόλμησεν εἰπεῖν, „τὸν μὲν Πατέρα μείζονα εἶναι τῆ Υἱῆ, τὸν δὲ „Υἱὸν τῆ Ἁγίε Πνεύματος· ὅθεν καὶ πολύθεον „αὐτὸν ἐν τῷ αὐτῷ λόγῳ φησὶ, καὶ εἰκότως· λέ-„γει γὰρ καὶ ὁ Θεολόγος Γρηγόριος· ἡμῖν εἷς „Θεὸς, ὅτι μία Θεότης, καὶ πρὸς ἓν τὰ ἐξ αὐτῆ „ἀναφέροντες, εἰς ἕνα Θεὸν πιστεύομεν· οἱ μὴ „πρὸς ἓν τὰ δύο, δῆλον ὅτι ἐκ εἰς ἕνα Θεὸν, ἀλλ' „εἰς πολλὲς πιστεύσι, καὶ τί ἔτι τοῖς ἕλλησι μέμφονται;

ΚΕΦΑΛΑΙΟΝ μδ΄.

Εἰ τὸ Πνεῦμα τὸ Ἅγιον ἐκ μὲν τῆ Υἱῆ προσεχῶς ἐκπορέυεται, ἐκ δὲ τῆ Πατρὸς ὁ προσεχῶς κατὰ τὲς Λατίνες, δῆλον, ὅτι ἐκ μὲν τῆς ὑποσάσεως τῆ Υἱῆ ἐκπορέυεται, ἐκ δὲ τῆς ὑποσάσεως τῆ Πατρὸς ὁδαμῶς· πῶς γὰρ τὸ μὴ προσεχὲς ἐξ αὐτῆ τὴν ὕπαρξιν ἔχον; ὁ δὲ γὰρ ὁ Ἰακὼβ ἐκ τῆ Ἀβραὰμ ὁ προσεχὲς ἔχων τὸ εἶναι, λέγοιτο ἂν ἐκ τῆς τῆ Ἀβραὰμ ὑποσάσεως· πλὴν δὲ ἄρα θέλει τὶς λέγειν ἐκ τῆς οὐσίας· ἢ πάντες δὲ ἄνθρωποι τὸ γένος ἕλκοντες ἐξ Ἀδὰμ, ἐκ μὲν τῆς οὐσίας τῆ Ἀδὰμ λεγόμεθα, ἐκ τῆς ὑποσάσεως δὲ ὁδαμῶς· ἀλλὰ μὲν οἱ Ἅγιοι τὸ ἐναντίον ἐπὶ τῆ Πνεύματος λέγεσιν, ἐκ τῆς ὑποσάσεως τῆ Πατρὸς αὐτὸ Θεολογῆντες, ὅ, τε Θεολόγος Γρηγόριος ὁ τῆς Νύσσης, καὶ ὁ μέγιστος τῶντι Μάξιμος, καὶ

καὶ οἱ λοιποὶ πάντες, ἐκ τῆς ὑποσάσεως δὲ τῆ Υἱῆ ὁδεὶς αὐτὸ εἶπεν, ὅσαγε ἡμᾶς ἰδέναι, μάτην ἄρα οἱ Λατῖνοι τὴν ὑπόσασιν τῆ Υἱῆ προσεχῆ αἰτίαν τῆ Πνεύματος τίθενται.

ΚΕΦΑΛΑΙΟΝ με΄.

Ὅταν οἱ Λατῖνοι λέγωσι τὸν Πατέρα μὴ προσεχῆ αἴτιον τῆ Ἁγίε Πνεύματος, ἐρώμεθα τέτες, πότερον διὰ τὸ εἶναι τῆ Υἱῆ αἴτιον, λέγεσιν αὐτὸν καὶ τῆ Πνεύματος αἴτιον, ἢ διὰ τὸ καὶ αὐτὸν τὶ συμβάλλεσθαι παρ' ἑαυτῆ πρὸς τὸ εἶναι τῆ Πνεύματος; εἰ μὲν ἂν διὰ τὸ εἶναι τῆ Υἱῆ αἴτιον λέξεσι, δῆλον ὅτι αὐτὸς ὁ Κυρίως ἐστὶ τῆ Πνεύματος αἴτιος· τοιῆτον γὰρ τὸ πόρρω καὶ ὁ προσεχὲς αἴτιον, καὶ εὑρίσκεται ὁ Πατὴρ τῆ μὲν Υἱῆ Κυρίως ὢν αἴτιον οὔτε καὶ προσεχὲς· ἀλλὰ τέτην τὴν θεολογίαν, ἢ θεομαχίαν εἰπεῖν μᾶλλον, ἐδέπω μέχρι καὶ νῦν ἠκέσαμεν. ἀλλ' ἐκεῖνο γὰρ ἀκέομεν, ὅτι ὡς ὁ Υἱὸς ἐκ τῆ Πατρὸς, ἕτω καὶ τὸ Πνεῦμα ἐκ τῆ Πατρός· μάτην δὲ ἡμῖν ἐγκαλῆσι τὸ ἐκ μόνε τῆ Πατρὸς, αὐτοὶ τὸ Πνεῦμα τὸ Ἅγιον ἐκ μόνε τῆ Υἱῆ λέγοντες· εἰ δὲ καὶ τὸν Πατέρα συμβάλλεσθαι φήσεσι πρὸς τὸ εἶναι τῶ Πνεύματι, τί τις ἂν φαίη πάλιν πρὸς τὸν ἐσμὸν τῶν ἀναφυομένων ἀτοπημάτων; δύο τε γὰρ ἐντεῦθεν ἔσαι τὰ αἴτια· ἐπεὶ καὶ αἱ ὑποσάσεις δύο, καὶ μερισὸν τὸ εἶναι τῶ Πνεύματι, τὸ μὲν ἐκ τῆ Πατρὸς, τὸ δὲ ἐκ τῆ Υἱῆ χορηγέμενον, καὶ τὸ Πνεῦμα σύνθετον ἐξ ἀμφοῖν ἔχον τὴν ὕπαρξιν, καὶ ὅσα ἄλλα τοῖς τοιέτοις ἀλοκότοις ἕπεται δόγμασιν.

ΚΕΦΑΛΑΙΟΝ μς΄.

Ἀλλὰ τέτοις οἱ Λατῖνοι ξενοχωρέμενοι, πρὸς τὸ παράδειγμα τῆς κλίσεως ἀποβλέπεσι πάλιν, ἵνα δηλονότι πνευματομάχες καθαρῶς ἑαυτὲς ἀποδείξωσι, καὶ κλίσμα τὸ Πνεῦμα τὸ Ἅγιον εὑρεθῶσι φρονῆντες, ἐρῆσι, ὅτι καὶ κλίσις ἐκ Πατρὸς δι' Υἱῆ λεγομένη τὸ εἶναι ἔχειν, ὁμοίως αἴτιον ἕνα καὶ δημιεργὸν ἔχειν πιστέυεται, καὶ ἔτε δύο ἢ τρεῖς αἰτίες, ἔτε τὸν μὲν Κυρίως, τὸν δὲ ὁ Κυρίως, ἔτε μέρος ἑκάτερον αὐτῆ πρὸς τὸ εἶναι συμβάλλειν· ἂν ἓν ταῦτα λέγωσιν, ἢ καὶ τὸ Πνεῦμα τὸ Ἅγιον ὁμολογείτωσαν κλίσμα Φρονεῖν φανερῶς, ἢ μαθέτωσαν, ὅτι ἔξω μὲν τῆς ἑαυτῶν θεότητος καὶ ὑποσάσεως δύνανται καὶ παρ' ἡμῖν δύο πρόσωπα, μιᾶ ἐνεργείᾳ, καὶ ἑνὶ λόγῳ τεχνικῶς ὑφισᾶν ὅπερ ἂν βέλωνται, ἐκ δὲ τῆς ἑαυτῶν ὑποσάσεως ἑκάτερον Φυσικῶς προάγειν ἓν πρόσωπον διὰ μιᾶς ἐνεργείας ἀδύνατον, εἰ μὴ μέρος ὅπερ εἴρηται πρὸς τὸ εἶναι συμβάλλειν, ὥσε εἶναι δύο τὰς ἀρχὰς, καὶ δύο τὰς ἐνεργείας, καὶ τὸ προαγόμενον σύνθετον· πόθεν ἓν αὐτοὶ μίαν προσωπικὴν τὴν ἐνέργειαν δυσὶ προσώποις ἀπονέμεσι, καὶ μίαν ἀρχὴν τὰ δύο φασὶ, θαυμάζειν ἄξιον.

ΚΕΦΑΛΑΙΟΝ μζ΄.

Καὶ ὁ ἐν ἡμῖν νῆς, ὁ ἀνθρώπινος λέγω, λόγον ἐξ ἑαυτῆ γεννᾷ, καὶ Πνεῦμα προβάλλει· τὸν μὲν οἷον Ἄγγελον τῶν ἑαυτῆ κινημάτων καὶ γνωμάτων, τὸ δὲ ζωῆν καὶ κινῆν τὸ σῶμα, καὶ τὸν λόγον αὐτὸν συναναφαῖνον καὶ διαρθρῆν· συμπρόεισι μὲν ἓν ἀλλήλοις ὁ λόγος τε καὶ τὸ Πνεῦμα παρὰ τῆ νῆ, καὶ ὁ μὲν ἀγγέλλει τοῖς ἔξω τὰ τῆ γεννήτορος, τὸ δὲ ζωοῖ καὶ ἄγει τὸ σῶμα, ὅποι ἂν ὁ προβολεὺς βέληται· παρὰ τῆ λόγε δὲ προϊέναι τὸ Πνεῦμα καὶ τὴν αἰτίαν ἔχειν, ἐκ ἄν τις εὖ Φρονῶν εἴποι ποτέ· πῶς γὰρ τῷ λόγῳ πρὸς τὴν Φανέρωσιν συνεργῆν, καὶ δι' αὐτῆ πάλιν αὐτὸ Φανερέμενον; ἕτω δὴ καὶ ὁ ἀΐδιος Λόγος, συμπροϊὸν μὲν ἔχει τὸ Πνεῦμα παρὰ τῆ πρώτε νῆ καὶ Πατρὸς, ὃ μὴν αὐτὸς αὐτῷ τὴν αἰτίαν τῆ εἶναι παρέχει· καθάπερ ὁδὲ παρ' αὐτῆ ταύτην λαμβάνει· ταῦτα Θεολογεῖ μεθ' ἡμᾶς τε καὶ πρὸ ἡμῶν ὁ Θειότατος Μάξιμος, καὶ τὴν εἰκόνα θαυμασίως ἐφαρμόζει τῷ ἀρχετύπῳ· καθάπερ γὰρ ὁ ἐν ἡμῖν λόγος Ἄγγελός ἐστι τῶν τῆ νῆ κινημάτων, ἕτω καὶ ὁ Θεῖος Λόγος τῆς μεγάλης βελῆς τῆ Πατρὸς Ἄγγελος ὀνομάζεται· καὶ καθάπερ τὸ ἐν ἡμῖν Πνεῦμα ζωτικόν ἐστι καὶ κινητικὸν τῆ σώματος, ἕτω καὶ τὸ Θεῖον Πνεῦμα ζωοποιὸν ὑπάρχον καὶ κινητικὸν, καὶ συνεκτικὸν καὶ ἁγιαστικὸν τῆς κλίσεως, ζωὴ ὀνομάζεται. λέγει γᾶν ὁ εἰρημένος Θεῖος Ἀνὴρ ἐν Κεφαλαίῳ γ΄. τῆς τρίτης Ἑκατοντάδος τῶν Γνωστικῶν· „ἔτε ἦν, ἔτε ἔστιν, ἔτε ἔσαι „τῆ λόγε λόγος ἀνώτερος. λόγος δὲ ἐκ ἄνες, „ἢ ζωῆς ἄμοιρος, ἀλλ' ἔννες, καὶ ζῶν, ὡς γεν-„νῶντα νῆν ἔχων ἀσιωδῶς ὑφεζῶτα τὸν Πατέρα, „καὶ ζωὴν ὑφεζᾶσαν ἀσιωδῶς ἐνυπάρχεσαν τὸ „Πνεῦμα τὸ Ἅγιον.

Ὅρα νῦν μὲν γεννῶντα καλέμενον τὸν Θεὸν καὶ Πατέρα, λόγον δὲ γεννώμενον ἐξ αὐτοῦ τὸν Υἱὸν καὶ Θεὸν, ζωὴν δὲ τὸ Πνεῦμα τὸ Ἅγιον, ἐνυπάρχεσαν τῷ Υἱῷ, ἀλλ' ἐκ ἐξ αὐτοῦ ὑπάρχεσαν· „καὶ τοῦτό ἐσιν ὅπερ ἕτερος Θεολόγος φησὶν, ἐκ „τοῦ Πατρὸς ἐκπορέυεται, ἐν τῷ Υἱῷ δὲ μένει.

ΚΕΦΑΛΑΙΟΝ μή.

Εἰ τῷ ἐμμέσῳ καὶ ἀμέσῳ μόνῳ διαφέρεσιν αἱ πρόοδοι τῶν Θείων προσώπων κατὰ τὰς Λατίνες, τῷ τὸν μὲν Υἱὸν ἐκ μόνε τοῦ Πατρὸς εἶναι, τὸ δὲ Πνεῦμα τὸ Ἅγιον ἐκ Πατρὸς δι' Υἱοῦ, καὶ τοῦτό ἐσιν ἡ ἐκπόρευσις κατ' αὐτὰς, ταὐτὸν ἄρα τῇ γεννήσει ἡ ἐκπόρευσις, καὶ τῇ ἐκπορεύσει ἡ γέννησις· δύο ἄρα ἐν τῇ Τριάδι Υἱοὶ, ὁ μὲν ἐκ μόνε τοῦ Πατρὸς γεννώμενος, ὁ δὲ ἐκ Πατρὸς δι' Υἱοῦ, καὶ ὁ μὲν τῷ Πατρὶ προσεχὴς Υἱὸς, ὁ δὲ τῷ μὲν Υἱῷ προσεχὴς, τοῦ δὲ Πατρὸς πόῤῥω υἱωνός.

ΚΕΦΑΛΑΙΟΝ μθ'.

Ἀλλὰ τὸ Θεολόγημα μᾶλλον δὲ παραλήρημα μέχρι τοῦ νῦν ἐκ ἠκέσαμεν· ἢ αὐτὴ ἐσὶν ἀρχὴ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίε Πνεύματος, ἢ ἄλλη καὶ ἄλλη· εἰ μὲν δὴ ἡ αὐτὴ, τοῦ Υἱοῦ δὲ Πατρὸς μόνος ἀρχὴ, καὶ τοῦ Πνεύματος ἄρα ὁ Πατὴρ μόνος· εἰ δὲ ἄλλη καὶ ἄλλη, πῶς ἀ δύο ἀρχαί;

ΚΕΦΑΛΑΙΟΝ ν.

Ἡ ὑπόσασις τοῦ Πατρὸς ἐσὶν ἀρχὴ τοῦ Ἁγίε Πνεύματος, ἔσι δὲ καὶ ἄλλη ὑπόσασις τοῦ Υἱοῦ, τοῦ Ἁγίε Πνεύματος ἀρχὴ κατὰ τὰς Λατίνες· ἄλλη ἄρα καὶ ἄλλη ὑπόσασις, ὅπερ ἐσὶν ὑποσάσεις δύο τοῦ Πνεύματος εἰσὶν ἀρχαὶ κατ' αὐτάς· δύο ἄρα εἰσὶ τοῦ Πνεύματος ἀρχαὶ κατ' αὐτάς.

ΚΕΦΑΛΑΙΟΝ να.

Ὁ Πατὴρ καὶ ὁ Υἱὸς ἕτως ἓν αἴτιον τοῦ Ἁγίε Πνεύματος ὡς ἑκάτερος μόνος, ἢ ἄλλως· εἰ μὲν δὴ ἕτως ἄμφω ὡς ἑκάτερος μόνος, ἑκάτερος δὲ μόνος ἕτως, ἓν αἴτιον, ὡς ἓν πρόσωπον, καὶ ἄμφω ἄρα ἕτως ἓν αἴτιον ὡς ἓν πρόσωπον, καὶ ἕτως ἀναζῇ σαβέλλιος· εἰδὲ ἄλλως μὲν ἄμφω ἓν αἴτιον, ἄλλως δὲ ἑκάτερος μόνος, πῶς ἀ δύο τὰ αἴτια; τὸ γὰρ ἄλλως καὶ ἄλλως, καὶ ἡ διαφορὰ δήπε καὶ ἀριθμὸν συνεισάγει.

ΚΕΦΑΛΑΙΟΝ νβ'.

Ἐν τοῖς Θείοις προσώποις ἕν ἐσι τὸ αἴτιον, ἢ ἐχ ἕν; εἰ μὲν δὴ ἕν ἐσι πρόσωπον αἴτιον, ἔχομεν τὸ ζητέμενον· ὁ Πατὴρ γὰρ δήπεθεν ἔσαι μόνος. εἰδὲ ἐχ ἓν δύο δήπε πάντως ἔσαι τὰ αἴτια, καθάπερ καὶ τὰ αἰτιατὰ δύο. τοῦτο δὲ αὐτόθεν ἄτοπον.

ΚΕΦΑΛΑΙΟΝ νγ'.

Εἰ τὸ ἀμέσως αἴτιον μᾶλλον καὶ ἐγγύτερον τοῦ ἐμμέσως, διατὶ τοσαυτάκις ἐκ τοῦ Πατρὸς ἐκπορέυεθαι λεγομένε τοῦ Πνεύματος, ὀλιγάκις τὸ δι' Υἱοῦ παρεντίθεται; διατὶ τὸ μᾶλλον αἴτιον καὶ ἐγγύτερον σιωπᾶται; τὸ δὲ ἧτον καὶ πορῤῥώτερον ἀεὶ λέγεται; πῶς δὲ καὶ ἀ δύο τὰ αἴτια, ἐν οἷς τὸ μᾶλλον καὶ ἧτον, καὶ ἐγγύτερον, καὶ πορῤῥώτερον χώραν ἔχει;

ΚΕΦΑΛΑΙΟΝ νδ'.

Ὁ Υἱὸς αἴτιος τοῦ Ἁγίε Πνεύματος τῷ λόγῳ τῆς Φύσεως, ἢ τῷ λόγῳ τῆς ὑποσάσεως; εἰ μὲν δὴ τῷ λόγῳ τῆς Φύσεως, Φύσις δὲ ἡ αὐτὴ τοῖς τρισὶ, κοινὸν ἔσαι τοῖς τρισὶ τὸ αἴτιον, καὶ προβαλεῖ τὸ Πνεῦμα ἑαυτὸ, ἢ ἕτερον· εἰ δὲ τῷ λόγῳ τῆς ὑποσάσεως ὁ Υἱὸς αἴτιος, ἑτέρα ὢν ὑπόσασις παρὰ τὸν Πατέρα, ἑτέρα ἔσαι παρὰ τὸν Πατέρα αἰτία, καὶ ἑτέρα ἀρχή· δύο ἄρα ὑποσάσεις αἰτίαι, κἀντεῦθεν δὴ καὶ δύο ἀχαί.

ΚΕΦΑΛΑΙΟΝ νε.

Ἡ προβλητικὴ δύναμις ἐν Πατρὶ καὶ Υἱῷ μία καὶ ἡ αὐτὴ ὑπάρχεσα κατὰ τὰς Λατίνες, ἀσιώδης ἐσὶ πάντως καὶ Φυσικὴ, ταύτης δὲ τὸ Πνεῦμα τὸ Ἅγιον λείπεται, μηδὲν ἄλλο προβάλλειν πρόσωπον. ἀλλ' ὥσπερ τὰ τῆς αὐτῆς δυνάμεως ὄντα καὶ τῆς αὐτῆς ἀσίας εἶναι ἀνάγκη κατὰ τὰς Θεολόγες Πατέρας, ἕτω καὶ τἐναντίον, τὰ μὴ τὴν αὐτὴν ἀσιώδη δύναμιν ἔχοντα, μηδὲ τὴν αὐτὴν ἀσίαν ἔχειν ἀνάγκη· καὶ ἕτως ἀλλοτριῶται τὸ Πνεῦμα τὸ Ἅγιον τῆς κοινῆς ἀσίας Πατρὸς καὶ Υἱοῦ, τῆς κοινῆς ἀσιώδες δυνάμεως ἀλλότριον ὄν· ἀλλ' ἡμεῖς ὥσπερ ὁμοούσιον, ἕτω καὶ ὁμοδύναμον ἴσμεν τὴν ἁγίαν Τριάδα, καὶ μίαν δύναμιν τῶν τριῶν κηρύττομεν, ὥσπερ καὶ μίαν οὐσίαν, τοῖς νέοις τούτοις Πνευματομάχοις ἐῤῥῶθαι πολλὰ φράσαντες.

ΚΕΦΑΛΑΙΟΝ νε.

Ἰδιώματα τοῦ Πατρὸς εἰσὶ κατὰ τοὺς Θεολόγες Πατέρας ἥτε ἀγεννησία, καὶ τὸ γεννᾶν, καὶ προβάλλειν· εἰ ἓν ἑνὸς τούτων τοῦ προβάλλειν φημὶ κοινωνεῖ τῷ Υἱῷ κατὰ τὰς Λατίνες, τοῦ δὲ Πνεύματος πᾶσι διίσαται, πλείονα ἄρα τὴν κοινωνίαν ὁ Πατὴρ ἔχει πρὸς τὸν Υἱὸν, ἢ πρὸς τὸ Πνεῦμα τὸ Ἅγιον, καὶ ἐξ ἀνάγκης πλείονα τὴν ἑτερότητα πρὸς τὸ Πνεῦμα τὸ Ἅγιον, ἢ πρὸς τὸν Υἱόν. Καὶ τί ἔτι Μακεδονίῳ Λατῖνοι μέμφονται, καθαρῶς αὐτοὶ πνευματομαχοῦντες; τίνα Τριαδικῶς ἐπὶ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίε Πνεύματος λέγεται, ἢ τίνα Μοναδικῶς.

Μία Φυσις — Τρία Πρόσωπα —
Μία Εἰκὼν — Τρεῖς Ὑποσάσεις —

Μία μορφὴ — Τρία Ὀνόματα —
Μία Οὐσία — Τρεῖς Χαρακτῆρες —

Μία Θέλησις — Τρεῖς Ἐνέργειαι —
Μία Δύναμις — Τρεῖς Ἰδιότητες —

Μία Χάρις — Τρεῖς Ὁμολογίαι —
Μία Πίςις — Τρεῖς Ἐπιγνώσεις —

Μία Δόξα — Τρεῖς Ἀκτῖνες —
Μία Ἔλλαμψις — Τρεῖς Λαμπρότητες.

ΜΑΡΚΟΥ ΕΦΕΣΟΥ

ΤΟΥ ΕΥΓΕΝΙΚΟΥ

ΚΕΦΑΛΑΙΑ ΣΥΛΛΟΓΙΣΤΙΚΑ

ΤΗΣ ΑΙΡΕΣΕΩΣ ΤΩΝ ΑΚΙΝΔΥΝΙΑΣΤΩΝ,

ΠΕΡΙ

ΔΙΑΚΡΙΣΕΩΣ ΘΕΙΑΣ ΟΥΣΙΑΣ, ΚΑΙ ΕΝΕΡΓΕΙΑΣ.

ΚΕΦΑΛΑΙΟΝ α'.

Εἰ ταυτὸν ἐπὶ Θεοῦ ἀσία καὶ ἐνέργεια, τὰ ἐκ τῆς ἀσίας καὶ τῆς ἐνεργείας ἔσαι, καὶ τὰ ἐκ τῆς ἐνεργείας ἐκ τῆς ἀσίας· καὶ ἕτως ὁ μὲν Υἱὸς καὶ τὸ Πνεῦμα καὶ ἐκ τῆς ἐνεργείας ἔσονται, καὶ ἐκ ἔσι γέννημα καὶ ἐκπόρευμα μόνον, ἀλλὰ καὶ ἐνεργήματα καὶ ἀποτελέσματα· ἡ δὲ κτίσις ἐκ τῆς οὐσίας καὶ ἐκ ἐνέργημα μόνον, ἀλλὰ καὶ γέννημα, τὰ δ' ἀμφότερα ἀσεβῆ, καὶ τῆς ἀληθείας ἀλλότρια.

ΚΕΦΑΛΑΙΟΝ β'.

Ἔτι, εἰ ταὐτὸν ἀσία καὶ ἐνέργεια, πάντητε καὶ πάντως ἅμα τῷ εἶναι καὶ ἐνεργεῖν τὸν Θεὸν ἀνάγκη, συναΐδιος ἄρα τῷ Θεῷ ἡ κτίσις ἐξ ἀϊδίε ἐνεργοῦντι κατὰ τὰς ἕλληνας.

ΚΕΦΑΛΑΙΟΝ γ'.

Εἰ τὰ αὐτὸν ἐπιδεχόμενα λόγον, καὶ ταὐτὰ ἀλλήλοις εἰσὶν· ὁ Πέτρος καὶ ὁ Παῦλος τὸν αὐτὸν ἐπιδεχόμενοι τοῦ ἀνθρώπε λόγον, ἔσονται καὶ ταὐτὸν ἀλλήλοις, ἐκ εἰσὶ δὲ, ἐδ' ἄρα ἡ ἀσία καὶ ἡ ἐνέργεια τὸν αὐτὸν ἐπιδεχόμεναι τοῦ ἁπλοῦ καὶ ἀκτίσε καὶ ἀσωμάτε λόγον, ἤδη καὶ ταὐτὸν ἀλλήλοις εἰσί.

ΚΕΦΑΛΑΙΟΝ δ'.

Τὸ ταὐτὸν, ἢ γένει, ἢ εἴδει, ἢ ἀριθμῷ· ἀλλὰ γένει μὲν ἢ εἴδει ἐκ ἂν φαῖεν ταὐτὸν εἶναι τὴν

ἐνέργειαν τῇ οὐσίᾳ, λείπεται ἓν ἀριθμῷ ταὐτὸν εἶναι, καθάπερ ἐπὶ τῶν πολυωνύμων· ὡς ὅταν οὐσίαν ἐπὶ Θεοῦ καὶ μορφὴν καὶ Φύσιν τὸ αὐτὸ λέγωμεν· ἀλλὰ τὸ μὲν εἴρηται, τὸ δὲ σεσιώπηται, μᾶλλον δὲ καὶ ῥητῶς ἀπηγόρευται· Φύσις γὰρ ἡ ἐνέργεια κατὰ τὸν Θεῖον Κύριλλον ὁ ταὐτόν.

ΚΕΦΑΛΑΙΟΝ ε'.

Εἰ ἐνέργεια τοῦ Πατρὸς ὁ Υἱὸς ἐστι μόνος ὡς δοκεῖ τοῖς αἱρετικοῖς, ὁ δ' αὐτὸς ἐστι καὶ ὑπόστασις· ἐνέργεια δὲ καὶ οὐσία τὸ αὐτὸ κατ' αὐτούς, ἕξει ταὐτὸν ὑπόστασις καὶ οὐσία· καὶ ἕτω σαβέλλειός τις σύγχυσις εἰσαχθήσεται.

ΚΕΦΑΛΑΙΟΝ ς'.

Εἰ ἐνέργεια τοῦ Πατρὸς ὁ Υἱὸς ἐστι μόνος, οὐδεμία δὲ ἐνέργεια ἀνυπόστατος, τετέσι καθ' ἑαυτὴν ὑφεστῶσα· κατὰ τὸν μέγαν Βασίλειον, ὁ Υἱὸς ἕξει ἐνέργειαν ἀνυπόστατος· ἀλλὰ τοῦτο Μαρκέλλου καὶ Φωτεινοῦ τῶν αἱρετικῶν παραλήρημα.

ΚΕΦΑΛΑΙΟΝ ζ'.

Εἰ δύο τὰς Φύσεις ὁ Χριστὸς ἔχων μετὰ τὴν ἕνωσιν, δύο καὶ τὰς ἐνεργείας εἶχε κατὰ τὸ δόγμα τῆς Ἕκτης τῶν Οἰκουμενικῶν, τέσσαρα ταῦτά ἐστι, Φύσις Θεία, καὶ Ἀνθρωπίνη, καὶ Ἐνέργεια Θεία καὶ Ἀνθρωπίνη· καὶ ὥσπερ ἡ ἀνθρωπίνη ἐνέργεια ἑτέρα παρὰ τὴν Φύσιν, ἀλλὰ κτιστὴ τῆς κτιστῆς, ἕτω καὶ ἡ Θεία ἐνέργεια ἑτέρα παρὰ τὴν Φύσιν, ἀλλὰ ἄκτιστος τῆς ἀκτίστου.

ΚΕΦΑΛΑΙΟΝ η'.

Τὴν ἀνθρωπίνην ἐπὶ Χριστῷ ἐνέργειαν ἀναιροῦσι τοῖς αἱρετικοῖς οἱ Πατέρες μαχόμενοι, ἐκ ἀντ' ἐκείνης αὐτοὶ τὴν Θείαν εἰσήγαγον, ἀρχέμενοι μόνη τῇ Φύσει διὰ τὴν ἄκραν ἁπλότητα, ὡς δοκεῖ τοῖς Ἀκινδυνίζουσιν, ἀλλὰ δύο τὰς ἐνεργείας ἐκήρυττον διαῤῥήδην, ὥσπερ ἓν καὶ τὰς Φύσεις ἤδεσαν· ἄρα καὶ τῆς Θείας Φύσεως ἕτερον ἦσαν τὴν Θείαν ἐνέργειαν, ὥσπερ ἓν καὶ τῆς ἀνθρωπίνης τὴν ἀνθρωπίνην.

ΚΕΦΑΛΑΙΟΝ θ'.

Εἰ σωματικῶν μελῶν διάθεσις ἐκ ἔστι παρὰ Θεῷ, πάντα ἄρα τὰ ὡς μέλη περὶ αὐτὸ παρὰ τῇ γραφῇ λεγόμενα καὶ ὑμνούμενα τῶν ἐνεργειῶν εἰσὶ δηλωτικά, ἃ πρὸς ἡμᾶς καταβαίνουσι, τῆς οὐσίας ἀπροσίτου μενούσης, ὡς οἱ Θεολόγοι φασίν.

ΚΕΦΑΛΑΙΟΝ ι'.

Εἰ ἐκ τῆς οὐσίας ἡ ἐνέργεια προϊέναντε καὶ πηγάζειν ἀεννάως εἴρηται, τὸ δ' ἐπ' ἀδενὸς ἀδείς ἂν τολμήσειε τῶν κτισμάτων εἰπεῖν, ἐκ ἄρα ἡ ἐνέργεια κτίσμα, καὶ μὴν ἀδ' αὐτὴ ἡ οὐσία.

ΚΕΦΑΛΑΙΟΝ ια'.

Εἰ παντελῶς ἀκίνητόντε καὶ ἀνενέργητον τὸν Θεὸν εἶναι φῶμεν, ὡς δοκεῖ τοῖς αἱρετικοῖς, αὐτὸς μὲν ὡς τέλος μόνον καὶ ἐφετὸν κινήσει τὸν κόσμον, ἀδεμίαν εἰς αὐτὸν, ἔτε πρόνοιαν ἔχων, ἔτε δύναμιν διεὶς, ὁ δὲ κόσμος ἔσαι ζῶν προαιρετικὸν, ἀΐδιον, αὐτὸς ἑαυτὸν διοικῶν, καὶ ἐφέσει μόνη τῷ Θείᾳ κινέμενος· ἀλλὰ ταῦτα ἑλληνικὰ καὶ μυθώδη, ἢ τοῖς ἀσεβέσιν ἀπόβλητα.

ΚΕΦΑΛΑΙΟΝ ιβ'.

Εἰ ἅπερ ἐστὶν ὁ Θεὸς ταῦτα καὶ ἔχειν λέγεται. Ζωὴν γάρ ἐστι καὶ ζωὴν ἔχει, καὶ Σοφία ἐστὶ καὶ σοφίαν ἔχει, καὶ τἀ λοιπὰ ὅτως· ἡ μὲν αὐτὰ ἐστὶ Θεὸς, ἀδαμῶς αὐτῷ διακρίνονται· ἀσιώδη γάρ εἰσι, καὶ φυσικὰ τῷ Θεῷ· ἡ δὲ αὐτὰ ἔχει, διακρίνονταίτε καὶ πρὸς ἡμᾶς καταβαίνουσι· καὶ αὗται εἰσὶν αἱ ἐνέργειαι, πληθυνόμεναί τε ἐνικῶς καὶ ἀδιαιρέτως διαιρέμεναι τῆς μιᾶς οὐσίας.

ΚΕΦΑΛΑΙΟΝ ιγ'.

Εἰ τὰ ἀόρατα τοῦ Θεοῦ ἀπὸ κτίσεως κόσμε τοῖς ποιήμασι νοούμενα καθορᾶται, ἤτε ἀΐδιος αὐτοῦ Δύναμις καὶ Θειότης, ἐκ δὲ τῶν ποιημάτων οὐ τῆς οὐσίας ἀλλὰ τῆς ἐνεργείας ἐν περινοίᾳ γινόμεθα κατὰ τὰς Θεολόγες φωνάς· ἕτερον ἄρα ἡ τοῦ Θεοῦ οὐσία, καὶ ἕτερον ἡ καθορωμένη καὶ νοεμένη διά τῶν ποιημάτων δύναμις αὐτῷ ἢ Θειότης, ἀΐδιος μέντοι καὶ αὐτοὶ τυγχάνεσα.

ΚΕΦΑΛΑΙΟΝ ιδ'.

Εἰ οἱ λόγοι τῶν ὄντων ἐν τῷ Θεῷ ἀνάρχως καὶ ἀϊδίως ὄντες, ὡς οἱ Θεολόγοι πάντες φασὶ, οὐτ' αὐτοὶ εἰσὶν ἡ τῷ Θεῷ Οὐσία· πῶς γὰρ οἱ λῃπτοὶ καὶ ἡμῖν ἀμιγέπη τυγχάνοντες, ἐκείνης ἀκαταλήπτε μενούσης, ἔτε μὲν ἐκτός εἰσι τοῦ Θεοῦ· τὰ γὰρ μετὰ Θεὸν πάντα κτίσματα, καὶ ἅμετε πλατωνικαῖς ἰδέαις ἐκ τέτε δώσομεν χώραν· ἐκ ἄρα μόνον ἓν ἄκτιστον ἡ τῷ Θεῷ οὐσία, καθὰ περιβομβεῖσιν οἱ τὰ ἀκινδύνε νοσοῦντες.

ΚΕΦΑΛΑΙΟΝ ιε'.

Πρὸς μὲν τὸν Υἱὸν καὶ τὸ Πνεῦμα φασὶν οἱ Ἀκινδυνόφρονες ὡς Φύσις ὁ Θεὸς ἔχει, πρὸς δὲ τὴν κτίσιν, ὡς βούλησις καὶ ἐνέργεια· ταῦτα μὲν ἓν περινοοῦσιν, ἵνα τὴν διάκρισιν ἀποκλείσωσι· Φαίνεται δὲ καὶ αὐτόθεν αὕτη, κἂν μὴ νοῶσιν ἃ λέγεσι· πρὸς ἃ γὰρ ἐστὶ Φύσις ἐκ ἔστι βούλησις, καὶ πρὸς ἃ ἡ βούλησις ἐκ ἔστι Φύσις· ἔπειτα πόθεν καὶ λαβόντες ἔχεσι τὰς τοιαύτας φωνάς, αὐτὸν εἶναι τὸν Πατέρα Φύσιν ἢ βούλησιν; ἀναγκαθήσονται γὰρ ἐκ τέτε καὶ γέννησιν αὐτὸν εἶναι φάναι· ἀλλὰ ἄλλο γεννῶν καὶ γέννησις εἴρηται, θέλων καὶ θέλησις, λέγων καὶ λόγος, εἰ μὴ μεθύοντες οὐκ ἀκέσωσιν· ἄλλως τε, εἰ μὲν τὴν Φύσιν ὡς ὑποκείμενον λέγεσι, τὴν δὲ βούλησιν ἐπιθεωρέμενον, εἰς ταὐτὸν ἡμῖν ἔρχονται· εἰδ' ἀμφότερα λόγε μόνον, ὡς ἔχει τὸ σπέρμα καὶ ὁ καρπὸς ἐπὶ τῇ αὐτῇ σίτε, τί τὸ ὑποκείμενον ἄλλα παρὰ τὴν Φύσιν, καὶ τὴν οὐσίαν; αὐτοὶ λεγέτωσαν.

ΚΕΦΑΛΑΙΟΝ ις'.

Εἰ κατὰ πολλῶν μὲν ἡ οὐσία τῷ Θεῷ ὁ λέγεται, μία γὰρ ἡ αὐτῷ οὐσία· κατὰ πολλῶν δὲ καὶ διαφόρων ἡ ἐνέργεια λέγεται, πολλαὶ γὰρ αἱ αὐτῷ ἐνέργειαι, ἕτερον ἄρα ἡ αὐτῷ οὐσία. καὶ ἕτερον ἡ ἐνέργεια.

ΚΕΦΑΛΑΙΟΝ ιζ'.

Εἰ πᾶσα δύναμις πρὸς ἕτερον λέγεται, πρὸς γὰρ τὸ δυνατὸν ἀποδίδοται, καὶ τοῦτο Θωμᾶς ὁ τῶν Λατίνων διδάσκαλος ῥητῶς ἀποφαίνεται, ἕτερον ἄρα οὐσία Θεοῦ, καὶ ἕτερον δύναμις, εἰμὴ καὶ τὴν οὐσίαν τὶς φαίη τῶν πρός τι.

ΚΕΦΑΛΑΙΟΝ ιη'.

Εἰ καὶ παράδοξον τὸ λεγόμενον εἶναι δόξει, καὶ μάλισα τοῖς αἱρετίζουσιν ἀκινδυνισασῖς, ἀλλ' ἓν ἐστιν ἀληθέσατον, ὅτιπερ ἐπὶ τῷ ἐγγυτέρῳ Θεοῦ Φύσεων νοερῶν τε καὶ λογικῶν, καὶ αὐτοῦ τοῦ Θεοῦ, μᾶλλον ἡ ἐνέργεια διακρίνεται τῆς οὐσίας, ἢ ἐπὶ τῶν ἀπωτέρω καὶ πάντη ξένων καὶ ἀλλοτρίων· τρισὶ γὰρ τούτοις ὡρισμένον ἀπάντων τῶν ὄντων ὡς οἱ Θεολόγοι διδάσκουσιν, οὐσίᾳ δυνάμει, καὶ ἐνεργείᾳ· τὸ γὰρ μηδεμίαν φασὶ δύναμιν καὶ ἐνέργειαν ἔχον, ἔτε ἐστὶν, οὔτε τί ἐστίν· τοῖς μὲν ἀψύχοις καὶ ἀναισθήτοις οἷον συνέπτυκται πρὸς τὴν Φύσιν ἡ ἐνεργητικὴ δύναμις, συντηρητικὴ τὶς αὐτῶν ἕσα, καὶ τῷ εἶναι μόνον ὅπερ εἰσὶ, καὶ διαμένει, παρεκτική· κἂν ἐπίτινων δὲ διακρίνοιτο, ὡς ἐπὶ τοῦ πυρὸς ἡ θερμαντική, μονομερὴς ἐστὶν αὕτη καὶ ἄλογος, καὶ βελήσεως ἔρημος. Ἐπὶ δὲ τῶν ἀλόγων ζώων, καὶ ἔτιγε μᾶλλον τῶν λογικῶν δραστηριώτερον ἤδη καὶ ἐκφανὲς μᾶλλον τὸ τῆς δυνάμεως ἔργον ἐστὶν, ἄγε ἃ πρὸς αὐτὰ μόνον, ἀλλὰ καὶ πρὸς τὰ ἔξω, καὶ ἃ τὰ αὐτὰ μόνον, ἀλλὰ καὶ τἀναντία, καὶ πολλά τε ὁμῶ καὶ μεγάλα δύνανταίτε καὶ ἐνεργεῖσι· χρώμεθα μὲν τοῖς οἰκείοις σώμασιν ὡς ὀργάνοις, πολλὰ δὲ ἕτερα δι' αὐτῶν ὄργανα τῶν οἰκείων ἐνεργειῶν ποιούμεθα. Καὶ ἐφεξῆς ἀνιδσιν αἱ νοεραὶ Φύσεις, καὶ νῷ μόνῳ λῃπταὶ, πολυδυναμώτεραι πολλῷ τῷ μέσῳ τῶν μετ' αὐτὰς εὑρεθήσονται· καὶ ὅσον ἐγγυς εἰσὶ τῷ Θεῷ τῇ ἁπλότητι τῆς ἑαυτῶν οὐσίας, τοσοῦτον καὶ τῷ παντοδαπῷ καὶ ποικίλῳ τῆς ἐνεργείας, ὅς γε καὶ οἱ χαριέστεροι τῶν Λατινικῶν διδασκάλων φασὶ, καὶ ἐκ πάσης ὕλης τε καὶ ἰδέας περιπλάττειν ἑαυτοῖς σώματα κατὰ τὸ βέλτιον αὐτοῖς πρὸς τὰς ἀναλόγες ἐμφανείας τοῖς θεωμένοις· ὁ δὲ τῶν ὅλων Θεὸς, ἡ μακαρία Φύσις, ὅσῳ τέτων ἀπάντων ἐξήρτηται, τοσῶτον ἐστὶν ἁπλῶς τε ἅμα καὶ ὑπερούσιος, καὶ οὐ πολυδύναμος, ἢ μεγαλοδύναμος, ἢ τἀναντία δυνάμενος μόνον, ἀλλὰ καὶ παντοδύναμος, ὡς πᾶσαν ἐν ἑαυτῷ δύναμιν προέχων, καὶ ὑπερέχων· Διονύσιος φησὶν ὁ κλεινὸς, καὶ ὡς ἐπὶ παντα τῆς αὐτοῦ δυνάμεως καὶ τῆς ἐνεργείας διηκμένης, ἐπομένην γὰρ αὐτὴν ἀεὶ τῇ βελήσει, καὶ σύνδρομον ἔχει, καὶ ἀμφότερα δῆπεθεν ἐπιθεωρέμενα τῇ οὐσίᾳ, ἕτως ἂδὲν ἡ τῆς ἐνεργείας διάκρισις τὴν τῆς οὐσίας ἁπλότητα παραβλάπτει.

ΚΕΦΑΛΑΙΟΝ ιθ'.

Ἐκ πάντων τῶν ἀποφάσεων οἱ Θεολόγοι φασὶν, ὡς ὑπὲρ πάντα τὰ ὄντα ὁ μηδὲν ὢν τῶν ὄντων

των κατ' ἐσίαν Θεὸς, ἐκ δὲ τῶν καταφάσεων ὡς αἴτιος πάντων, ὁ πάντα ὢν κατὰ τὴν αἰτίαν Θεολογεῖται. Ζητητέον ἦν πῶς τοῦτο λέγεται; καὶ γὰρ ὁ παρ' ἡμῖν οἰκοδόμος αἴτιος ὢν οἰκείας, ἐκ ἂν οἰκεία ποτὲ κληθείη, καὶ ὁ ἰατρὸς αἴτιος ὢν ὑγείας, ἐκ ἂν ὑγεία λεχθείη· πῶς δὲ καὶ ἐπὶ τῷ αὐτῷ συνδραμεῖται, τό, τε μηδὲν εἶναι τῶν ὄντων, καὶ αὖθις τὸ πάντα εἶναι; μήποτε ἦν ἔξι τι μεταξὺ τῆς ἐσίας τῷ Θεῷ καὶ τῶν ὄντων, καθ' ὃν ἐκ τῶν ὄντων ὡς αἴτιος ὀνομάζεται, καὶ ἐ κατὰ τὴν ἐσίαν αὐτὴν; τοῦτο δὲ τίποτ' ἄλλο εἴη, πλὴν ἡ ἐνέργεια; ἦν εἰ καὶ λόγον ἢ εἶδος τῶν ὄντων ἐθέλει τὶς λέγειν, ἐ διοισόμεθα· πλὴν ὅτι ὁ μὲν παρ' ἡμῖν τεχνίτης ἐκ ἐκ τῶν εἰδῶν ὀνομάζεται, τό, τε τῆς ἐσίας ἴδιον ὄνομα, καὶ τὸν λόγον ἔχων, καὶ τὸ εἶδος αὐτὸ τῆς τέχνης ἔξωθεν ἐπιγινόμενον τε καὶ τελειόμενον, ὁ δὲ Θεὸς ἀνάνυμός τε κατ' ἐσίαν ὤν, καὶ τὰ εἴδη τῶν ὄντων ἐν ἑαυτῷ Φύσει καὶ ἐξ ἀϊδίε προέχων, καὶ ὑπερέχων, εἰκότως αὐτάτε καὶ ἐξ αὐτῶν ὀνομάζεται.

ΚΕΦΑΛΑΙΟΝ κ'.

Θαυμάσαι ἄξιον τὴν ἀλογίαν τῶν ἀκινδυνισῶν, ὅτι τὰς μὲν τῆς ψυχῆς δυνάμεις, αἵτινες αὐτῇ προσεφύησαν μετὰ τὴν ἁμαρτίαν ἐκ τῆς ἀλόγε ζωῆς, διὰ τὴν πρὸς τὰ πάθη τῷ σώματος συμπλοκὴν, ὡς οἱ ἡμέτεροι τῳόντι Φιλόσοφοι, καὶ Διδάσκαλοι, καὶ Θεολόγοι Φασὶ, ταύτας ἓν τὰς δυνάμεις ἀκέοντες καὶ μέρη ταύτης λεγόμενα παρ' ἐνίων, ἡδενὸς ὅμως μέχρι καὶ τήμερον ἤκουσαν σύνθετον ἐξ αὐτῶν αὐτὴν ὀνομάζοντος· εἰ γὰρ ἂν ἔτως, αἱ τῶν ἀλόγων ψυχαὶ, καὶ ἔτιγε μᾶλλον αἱ τῶν ζωοφύτων, καὶ τῶν φυτῶν ἁπλέστεραι ἦσαν, ἅττε καὶ ἐλαττώνων μεμοιρασμέναι δυνάμεων, τὸν δὲ Θεὸν εἰ πολλὰς δυνάμεις λέγοιτο ἔχειν, οἴονται σύνθετον γίνεσθαι ἴσως τῇ ἐνεργείᾳ τῶν πραγμάτων αὐτῇ μαχόμενοι· αἱ γὰρ συνθέσεις οὐ τῶν ἀΰλων καὶ ἀσωμάτων, ἀλλὰ ὕλης καὶ εἴδους, ἢ ἐνύλων σωμάτων, ἢ δυοῖν φύσεων ὑποστήναι, καὶ καθ' ἑαυτὰς δυναμένων εἶσίτε καὶ λέγονται.

ΚΕΦΑΛΑΙΟΝ κα'.

Εἰ ὁ νῶς παρὰ τὴν διάνοιαν οὐκ ἔξι σύνθετος, οἵοντινα διέξοδον αὐτοῦ πρὸς τὰ αἰσθητὰ τυγχάνσαν, νῶν καὶ αὐτὴν ἐνίοτε προσαγορευομένην, εἰ ὁ Θεὸς ἄρα πολλῷ μᾶλλον παρὰ τὴν ἐνέργειαν ἐκέτι σύνθετος, κἂν Θεότης αὕτη προσαγορεύοιτο.

ΚΕΦΑΛΑΙΟΝ κβ'.

Εἰ τῷ νῷ ἡ διάνοια μὴ ἔξιν ἀλλότριον· Φυσικὴ γὰρ ἐξὶν αὐτῷ δύναμις, δι' ἧς τῷ λόγῳ δεικνύμενον (ἴσως δεικνυομένων) ἀντιλαμβάνεται· εἰ δ' ἡ ἐνέργεια ἄρα τῷ Θεοῦ ἐξὶν ἀλλότριον, Φυσικήτις αὐτῷ τυγχάνεσα δύναμις.

ΚΕΦΑΛΑΙΟΝ κγ'.

Καὶ τοῦτο τῶν ἀκινδυνισῶν ἐκ τῆς Εὐνομίε παραφροσύνης· ἅσπερ ἓν καὶ τὸ τὴν Φωνὴν τῆς Θεότητος εἰς μόνην τὴν ἐσίαν ἀνάγειν, ὅτι τὴν κατ' ἐπίνοιαν διαφορὰν ἐπὶ τῆς ὑσίας καὶ ἐνεργείας παραδεχόμενοι τὴν ἐπίνοιαν ἀνύπαρκτόν τι οἴονται, παντελῶς ἐν ψιλῇ προφορᾷ, λόγετε καὶ νοήματος ἡμετέρε συνισαμένην· ἀλλ' ἀκεέτωσαν τῷ Θεοφόρε Πατρὸς ἡμῶν Βασιλείε κἀκεῖνο ἐλέγχοντος, καὶ τέτες ἐντρέποντος· „τὰς γὰρ ἐν Χριςῷ Φησὶ συνελθούσας Φύσεις „ἐπινοίᾳ μόνῃ θεωρεῖμεν, καὶ διακρίνομεν, ἀλλ' „ἤδεν ἧττον εἰσὶ μετὰ τῶν ἑαυτοῖς ἑκάτερα ἰδιω„μάτων· ἕτω δὴ καὶ τὰ ἐπὶ τῷ Θεῷ λεγόμενα, „καὶ αἱ ἐνέργειαι πᾶσαι, κἂν ἐπινοίᾳ διακρίθαι λέ„γωνται, ἃ διὰ τῦτο ἀνύπαρκτοι, πλὴν ὅσον ἐκεῖ „μὲν σύνθεσις, ἐπειδὴ καθ' ἑαυτὴν ἑκατέρα Φύ„σις ὑποσῆναι δύναται μετὰ τῶν οἰκείων ἰδιωμά„των, ἐνταῦθα δὲ ἁδαμῶς.

ΚΕΦΑΛΑΙΟΝ κδ'.

Εἰ οἱ λόγοι τῶν ὄντων ἐν τῷ Θεῷ προαιωνίως ὄντες, οὐ μορφῶσι τὸν Θεῖον νῶν, ἁδὲ συντιθᾶσιν, ἁδ' αἱ ἐξ αὐτῦ ἄρα προϊᾶσαι ἐνέργειαι σύνθετον τῦτον ἀποφαίνσιν.

ΚΕΦΑΛΑΙΟΝ κε'.

Εἰ ὁ ἡμέτερος νῶς ἐπισήμην ἔχων, ἢ προσλαμβάνων, ἐ παρὰ τῦτο σύνθετος, ἁδ' ὁ Θεὸς ἄρα

ἄρα πολλῷ μᾶλλον ἐκ ἔξι σύνθετος ἐκ τῶν Φυσικῶν αὐτῷ προσόντων ἰδιωμάτων.

ΚΕΦΑΛΑΙΟΝ κς'.

Καὶ ἐπὶ τῷ ὀφθαλμῷ ἕτερον μὲν ἡ ὄψις, ὡς εἶδος καὶ ἕξις, ἕτερον δὲ ἡ ὁρατικὴ δύναμις, καὶ ἡ ὅρασις ὡς ἐνέργεια· καὶ ἡ μὲν ποιῆται σύνθεσιν, ἡ δ' ἁδαμῶς· ἐ γὰρ παρὰ τὴν ἐνέργειαν, ἀλλὰ παρὰ τὴν ἕξιν ὁ ὀφθαλμὸς σύνθετος· ὁ δὲ τῶν ὅλων Θεὸς, ὡς εἶδος μὲν καὶ ἕξιν ἁδὲν ἔχει, καθ' ὃ ἂν εἴη σύνθετος, ἀλλ' ἅτε σοφία καὶ ἡ ἀγαθότης, καὶ ἔτι τοιῦτον, συνεσίωται αὐτῷ διὰ τὴν ἁπλότητα, ὡς δὲ ἐνεργείας αὖθις κατὰ ταῦτα διακρινόμενα ἔχων, ἁδὲν ἐκ τότε εἰς τὴν κατ' ἐσίαν ἁπλότητα παραβλάπτεται· ταῦτα μὲν ἓν καὶ οἱ Θεολόγοι διδάσκσι Φανερῶς, οἱ δὲ αἱρετικοὶ μὴ παραδεχόμενοι, καθ' ὃ μὲν λέγσι Φυλάττειν ὁμοφωνῆσιν ἡμῖν, λέγω δὲ τὴν ἁπλότητα, καθὸ δὲ ἀπαγορέυσι τὴν διάκρισιν τῇ τε ἀληθείᾳ καὶ τοῖς Θεολόγοις πᾶσι καὶ ἡμῖν διαμάχονται, τὸν αὐτὸν ἀτεχνῶς τρόπον τοῖς Ἰεδαίοις· κἀκεῖνοι γὰρ Θεὸν ἕνα λέγοντες εἰς ταὐτὸν ἡμῖν ἔρχονται, τὴν δὲ τῶν προσώπων διάκρισιν ἐ παραδεχόμενοι, πρὸς τὴν ἀπώλειαν συμπαραλαμβάνοντος τοὺς Ἀκινδυνισὰς ὑποτρέφσιν.

ΚΕΦΑΛΑΙΟΝ κζ'.

Εἰ ἅπερ ἐσὶ κατ' ἐσίαν ὁ Θεὸς, ταῦτα καὶ ἡμῖν κατὰ χάριν δωρεῖται, οὐκ αὐτὰ ἐξὶν ἡ τοῦ Θεοῦ ὐσία· τῆς γὰρ ἐσίας αὐτοῦ οὐδενὶ μεταδίδωσι.

ΚΕΦΑΛΑΙΟΝ κή.

Εἰ ἅπερ ἐσὶ κατ' ἐσίαν ὁ Θεὸς, ταῦτα καὶ ἡμῖν κατὰ χάριν δωρεῖται, ἐκ ἀλλότρια ἄρα ἅπερ ἡμῖν δωρεῖται, περὶ δὲ αὐτὸν ἐσιωδῶς θεωρέμενα κατὰ τὰς Φωνὰς τῶν ἁγίων.

ΚΕΦΑΛΑΙΟΝ κθ'.

Εἰ ἐδεὶς ἐσὶ τῶν ἀνθρώπων ἀγαθὸς, εἰμὴ εἷς ὁ Θεὸς, ἐδέσιν ἄρα ἡ Ἀρετὴ, καὶ τὸ ἀγαθὸς εἶναι πρόσεσι κατὰ Φύσιν, εἰ μὴ ἐκ Θεῷ παραγένοιτο· διὸ τῦτο καὶ ὁ Θεῖος Μάξιμος εἶπεν· „ἀναρ„χος πᾶσα Ἀρετὴ, μὴ ἔχσα χρόνον ἑαυτῆς „πρεσβύτερον, ἅτε τὸν Θεὸν ἔχσα τῷ εἶναι μο„νώτατον ἀϊδίως γεννήτορα.

ΚΕΦΑΛΑΙΟΝ λ'.

Εἰ τὰ Φυσικὰ ἰδιώματα ἐπὶ Θεῷ ἀναιρήσομεν, δι' ὧν ἡ κοινότης γνωρίζεται, καὶ τὰ ὑποστατικὰ δηλονότι συναναιρεῖμεν, δι' ὧν αἱ ὑποστάσεις γνωρίζονται, καὶ ἔτως ἡ Σαβελλιακὴ σύγχυσις χώραν ἔχει.

ΚΕΦΑΛΑΙΟΝ λα'.

Εἰ τῷ λόγῳ διαφέρσι μόνον τὰ ἐπὶ Θεῷ λεγόμενα, καθάπερ οἱ νέοι κομπολογῆσι δογματισαί, πῶς μὴ ὄνται; τὸ γὰρ εἶναι ἑκάστοις ἐν τῷ ἰδίῳ λόγῳ.

ΚΕΦΑΛΑΙΟΝ λβ'.

Εἰ πολυποίκηλος μὲν ἡ τῷ Θεῷ σοφία λέγεται τε καὶ ἐσὶ, πολυποίκιλός τε ἡ αὐτῷ ὐσία ἐκ ἔξιν, ἕτερον ἄρα ἡ αὐτοῦ ὐσία, καὶ ἕτερον ἡ σοφία· „ἢ ἐχ ἡ ὐσία ἐκ τῆς σοφίας ὁ Χρυσορρήμων „Φησὶν, ἀλλ' ἡ σοφία ἐκ τῆς ὐσίας· ἕτω δὴ καὶ „ἡ ἀγαθότης, καὶ ἔτι τοιῦτον· διὸ τῦτο Φησὶ „καὶ ὁ Φίλιππος, ἐ τὴν σοφίαν ἐζήτει μαθεῖν, „ἁδὲ τὴν ἀγαθότητα, ἀλλ' αὐτὴν τὴν ὐσίαν, αὐτὸ ὅ, τί ποτὲ ἐξὶν ὁ Θεός.

ΠΕΡΙ ΤΟΥ ΘΕΙΟΥ ΦΩΤΟΣ.

ΚΕΦΑΛΑΙΟΝ λγ'.

Εἰ κατ' ἐσίαν ὁ Θεὸς οὐ μορφοῦται, ἁδὲ ποικίλλεται, κατὰ τὴν Θείαν ἄρα ἐνέργειαν αἱ Θεοφάνειαι πᾶσαι. ποικίλως τὰς ὁράσεις διατιθεῖσαι.

ΚΕΦΑΛΑΙΟΝ λδ'.

Εἰ τὸ Φανὲν τοῖς Ἀποςόλοις ἐν τῷ Θαβορίῳ Φῶς, αὐτὴ ἡ τοῦ Υἱοῦ Θεότης ὑπῆρχεν, εἰπ

εἰτ' ἓν ἡ τῆ Πατρὸς καὶ τῆ Πνεύματος ἐν Υἱῷ μονογενεῖ ἀπαστράπτουσα, οὐτ' ἄρα κτιστὸν τοῦτο τὸ Φῶς, ἔτε μὴν ἡ τῆ Θεῆ ἐσία· καὶ γὰρ ἐκεινη τὸ παράπαν ἀόρατος.

ΚΕΦΑΛΑΙΟΝ λε'.

Εἰ αὐτὸς ὁ Θεὸς ἔσαι τοῖς ἀξίοις τὰ πάντα κατὰ τὸν μέλλοντα αἰῶνα, Φῶς δὲ Δικαίοις διαπαντὸς, ἐκ ἀλλότριον ἄρα τῆ Θεῆ τὸ Φῶς· ὅπερ ἔσαι τοῖς Δικαίοις κληρονομία, Βασιλεία Θεῆ καλέμενον.

ΚΕΦΑΛΑΙΟΝ λς'.

Εἰ τὸν λόγον ἀπαιτῆσιν οἱ αἱρετικοὶ τῆ σαρκικοῖς ὀφθαλμοῖς καθορασθῆναι τὸ ἄϋλον, δότωσαν λόγον τῆ σαρκικῆ Φύσει τῆς Θεοτόκε περιληφθῆναι τὴν τῆ μονογενῆς ὑπόσασιν σαρκεμένην· εἰ δ' ἐκεῖνο παντελῶς ὑπὲρ λόγον, καὶ τῆ „το συγχωρήτωσαν· „καὶ γὰρ τῆτο ὡς ὑπερ„φυὲς ἐπηγγέλθη, ἃ μὴ γεύσωνται θανάτε, „ἕως ἂν ἴδωσι τὴν βασιλείαν τῆ Θεῆ ἐληλυθῆαν „ἐν δυνάμει· δηλῶν ὅπερ ἔσαι τοῖς ἀξίοις μετὰ τὸν θάνατον, τῆτο καὶ ζῶντες ἔτοι καρπώσονται· διὰ γὰρ τῆτο καὶ τῶν λοιπῶν ἐξελέγησαν ἀριςίνδην.

ΚΕΦΑΛΑΙΟΝ λζ'.

Εἰ χημάτων καὶ χρωμάτων καὶ αὐτῆ τῆ Φωτὸς ἀντιληπλικὴ ἐσὶν ἡ ὅρασις μόνον, ἅπερ ἐσὶν ἄϋλα τῷ οἰκείῳ λόγῳ· τὶ θαυμασὸν εἰ καὶ τὸ Θεῖον ἄϋλον Φῶς ἠδυνήθη ποτὲ παραδέξασθαι, τῇ Θεία δυνάμει βοηθεμένη;

ΚΕΦΑΛΑΙΟΝ λη'.

Εἰ πρὸ τῆς παραβάσεως ὁ Ἀδὰμ, τὰ μὲν τῶν ζώων ἰδιώματα ἔβλεπε, δι' ὧν αὐτοῖς τὰς κλήσεις ὑπέθετο, καὶ πρὸ τούτων αὐτὸν τὸν Θεὸν, τὴν δὲ ἑαυτῆ ἐκ ἔβλεπε γύμνωσιν, ἑτέροις ἄρα ὀφθαλμοῖς τότε ἑώρα, ὧν ἐπιμυσάντων μετὰ τὴν ἁμαρτίαν, οἱ τῆς σαρκὸς ἠνοίγησαν ὀφθαλμοί· ἀλλὰ πάλιν αὐτὸς ἐν τοῖς Μαθηταῖς διανοίγων ὁ Κύριος, „μετεμορφώθη ἔμπροσθεν αὐ„τῶν ἐκ τυφλῶν ἐργαζόμενος βλέποντας, ὁ Δα„μασκόθεν Ἰωάννης φησὶ.

ΚΕΦΑΛΑΙΟΝ λθ'.

Εἰ φῶς τε ἐσὶν ὁ Θεὸς, καὶ Φῶς οἰκεῖν ἀπρόσιτον λέγεται, τὸ μὲν ἄρα ὡς ἐσιῶδες αὐτῷ καὶ Φυσικὸν ἀχώριςον ὂν, τὸ δὲ, ὡς διὰ τὴν ἐνέργειαν διακεκριμένον.

ΚΕΦΑΛΑΙΟΝ μ'.

Εἰ πρὸς τὸ Θειότερον ἡ ψυχὴ μετασκευάζεται τῇ ἐπιδημίᾳ τῆς Χάριτος· τὶ θαυμασὸν εἰ καὶ τὰς διὰ σώματος αὐτῆς ἐνεργείας Θειοτέρας προβάλλεται, καὶ τῶν Θείων καὶ ὑπὲρ αἴσθησιν ἀντιλαμβάνεθαι δύναται;

ΚΕΦΑΛΑΙΟΝ μα'.

Εἰ πρὸς τὴν κτίσιν ἡ σωματικὴ Φύσις ὑπὲρ Φύσιν ἔδρασε τῇ Θεία δυνάμει βοηθεμένη, λέγω δὴ οἱ τῆ Πέτρε πόδες κατὰ κυμάτων πεζεύσαντες, διατὶ μὴ καὶ πρὸς τὸ ἄκτιςον ὑπὲρ Φύσιν ὁμοίως τῇ αὐτοῦ δυνάμει διατεθείη; λέγω δὴ οἱ ὀφθαλμοὶ πρὸς τὸ Θεῖον Φῶς; ὅπε γάρ ἐσι Θεὸς, ἀδὲν ἀδύνατον.

ΚΕΦΑΛΑΙΟΝ μβ'.

Εἰ τὴν ἐναντίαν δύναμιν οἴδαμεν ἐνεργεῖν τὶ περὶ τὰς ἀνθρωπίνας ὄψεις, μεταποιεῖν τε αὐτὰς καὶ διατιθέναι παρὰ Φύσιν πρὸς τὸ μὴ ὄν· δηλοῦσι δὲ οἱ Θαυματοποιοὶ, καὶ τὰ πάλαι ἀδόμενα μαγγανεύματα, πῶς οὐ τῇ Θεία δυνάμει δώσομεν ἀλλοιῆντε καὶ μεταποιεῖν τοὺς ὀφθαλμοὺς ὑπὲρ Φύσιν δύνασθαι, καὶ ταῦτα δὴ πρὸς τὸ ὄν, ἤτοι τὸ Θεῖον Φῶς;

ΚΕΦΑΛΑΙΟΝ μγ'.

Εἰ ἐν Φωτὶ τῷ Πνεύματι Φῶς τὸν Υἱὸν ὁ Πρωτομάρτυς Στέφανος θεασάμενος, οὕτω τὸ πρόσωπον ἔλαμψε· τῷ αὐτῷ ἄρα Φωτὶ καὶ τὴν ὀπτασίαν εἶδε, καὶ τὸ πρόσωπον ἔλαμψε, καὶ πῶς κτιςὸν τῆτο, τὸ Πνεῦμα τὸ Ἅγιον ἦν, ὡς ὁ Θεηγόρος Γρηγόριος ὁ τῆς νύσσης φησὶν.

ΚΕΦΑΛΑΙΟΝ μδ'.

Εἰ τὸ ἐπιφανὲν Ἀντωνίῳ τῷ Θεῴῳ, Φῶς, αὐτὸς ὁ Κύριος ἦν· Κύριε γάρ φησι πῦ τὸ πρότερον

τερον ἦς; ὁ δὲ Φησὶν, Ἀντώνιε ὧδε ἤμην· ἐκ ἀλλότριον ἄρα Θεοῦ, οὐδὲ κτίσμα τὸ τοῖς Ἁγίοις ἐπιφαινόμενον Φῶς· ἔτως ἔχει καὶ τὸ τῆ Παύλε, πλὴν ὅσον ἐκεῖ μὲν Φοβερὸν διὰ τὴν κατάπληξιν, ἐνταῦθα δὲ προσηνὲς διὰ τὴν παράκλησιν.

ΚΕΦΑΛΑΙΟΝ με'.

Εἰ αὐτὸς ὁ Θεὸς προηγεῖτο τῶν Υἱῶν Ἰσραὴλ, ἐν ςύλῳ πυρὸς, καὶ νεφέλης, ἅπασι φαινόμενος, ἃ τοῖς ἀξίοις ἄρα μόνον καὶ κεκαθαρμένοις αἱ Θεοφάνειαι, ἀλλὰ καὶ πᾶσιν ἁπλῶς χορηγῆνται· τῆς γὰρ Θείας δυνάμεως ἐσὶ τὸ πᾶν, ἃ τῆς τῶν ὁρώντων ἕξεως· πλὴν ὅσον τοῖς μὲν εἰς τὴν ψυχὴν καὶ τὸν νῆν ὁ Φωτισμὸς διαβαίνει, καθάπερ καὶ ἀπὸ τῆς ψυχῆς αὖθις ἐπὶ τὸ σῶμα πρόεισιν, ὡς ἐπὶ Μωϋσέως τε καὶ τῆ Πρωτομάρτυρος, τοῖς δὲ περὶ τὴν ἔξω μόνην τρέφεται ὄψιν, οἷον ἀντιτύπε τινος ὕλης διαδύναι μὴ ἔχων.

ΚΕΦΑΛΑΙΟΝ μς'.

Εἰ ὥσπερ τὸ Κυριακὸν πρόσωπον ὡς ὁ ἥλιος ἔλαμψεν, ἔτω καὶ οἱ Δίκαιοι λάμψεσιν ὡς ὁ ἥλιος ἐν τῇ Βασιλείᾳ τῶν Οὐρανῶν, τῷ αὐτῷ ἄρα Φωτὶ καὶ οἱ Δίκαιοι λάμψεσιν, ᾧ καὶ ὁ Κύριος ἔλαμψε· τὸ δὲ ἐσιν ἡ τῆς Θεότητος ἀκτὶς, ἄναρχος ἔσα καὶ ἄκτιςος, ὡς οἱ Θεολόγοι φασὶ, καὶ πῶς κτιςὸν τὸ τοῖς Ἁγίοις ὁρώμενόν τε καὶ μετεχόμενον Φῶς;

ΚΕΦΑΛΑΙΟΝ μζ'.

Εἰ τῆς παρ' ἡμῶν ἐπιςροφῆς πρὸς Θεὸν μόνον ἔδει πρὸς τὸ Φωτίζεθαι, καὶ ἃ πρὸς τοῦτω καὶ τῆς ἐκείνε ἐπιςροφῆς πρὸς ἡμᾶς ἐκ ἂν ἐδεόμεθα λέγοντες· „μὴ ἀποτρέψῃς τὸ πρόσωπόν„σε ἀπ' ἐμὲ, καὶ αὖθις, ἐπίφανον τὸ πρόσω„πόν σε καὶ σωθησόμεθα, ὅπερ δηλοῖ τὴν ἐποπλικὴν αὐτῆ ἐνέργειαν εὐμενῶς πρὸς ἡμᾶς ἐπιςρέφεσαν.

ΚΕΦΑΛΑΙΟΝ μη'.

Εἰ μὴ ἐσὶν ἀλλότριον τῆς αὐλε ψυχῆς ἡ ἐρατικὴ δύναμις, τοῦ γὰρ ψυχικῆ Πνεύματος ἤρτηται, καθὰ φασὶν οἱ περὶ ταῦτα δεινοὶ, τὶ θαυμασὸν, εἰ ποτέ τι καὶ τῶν ἀύλων καὶ συγγενῶν τῇ ψυχῇ παρὰ τῆς Θείας δυνάμεως ἐνισχύθη κρῖναι, καὶ πρὸς αὐτὴν εἰσαγγεῖλαι· κατὰ γὰρ τοῦτον τὸν λόγον καὶ ἄγγελοι πολλοῖς ὤφθησαν, καὶ τὸ κυριακὸν μετὰ τὴν ἀνάςασιν σῶμα Θεωθὲν ἤδη καὶ γεγονὸς ἄφθαρτον.

ΚΕΦΑΛΑΙΟΝ μθ'.

Εἰ τὸ Θεῖον τῆτι ὑπὲρ Φύσιν μετέχεται καὶ ὁρᾶται, καὶ ἄλλο παρὰ τὸ αἰσθητόν ἐσι Φῶς· ἔτω καὶ ἡ τῆ Θεῆ σοφία, καὶ ἡ παρ' αὐτῆ γνῶσις, καὶ τὰ τῶν δυνάμεων ἐνεργήματα, καὶ ἁπλῶς εἰπεῖν ἅπαντα τὰ χαρίσματα ὑπὲρ Φύσιν ἐπιγίνονται τοῖς ἀξίοις, καὶ ἄλλα παρὰ τὰ ἐν ἡμῖν εἰσὶ Φυσικὰ, καὶ διά σπεδῆς προσγινόμενα· καὶ γὰρ ἡ ζωὴ πᾶσα τῶν κατὰ Θεὸν ζώντων, ἑτέρα παρὰ τὴν Φυσικὴν ἐσὶ, Πνευματικήτε καὶ Θεοειδὴς ἔσα, ταύτην καὶ ὁ Παῦλος ἔζη, μηκέτι ζῶν ἐν σαρκὶ, ἀλλὰ ζῶντα ἔχων ἐν ἑαυτῷ τὸν Χριςὸν, ὅς ἐσι τῶν χαρισμάτων τὸ πλήρωμα.

ΠΕΡΙ ΤΩΝ ΠΝΕΥΜΑΤΙΚΩΝ ΧΑΡΙΣΜΑΤΩΝ.

ΚΕΦΑΛΑΙΟΝ ν'.

Εἰ πολλὰ μὲν Πνεύματα λέγεται, πολλὰ δὲ ἡ τῆ Πνεύματος ὑπόσασις ἃ γίνεται, ἕτερον ἄρα ἡ αὐτῆ ὑπόσασις, καὶ ἕτερα τὰ χαρίσματα.

ΚΕΦΑΛΑΙΟΝ να'.

Εἰ ἡ ἐξ ἀρχῆς ἐμφυσηθεῖσα παρὰ Θεῆ τῷ ἀνθρώπῳ πνοὴ ζωῆς, ἀφ' ἧς ἐγένετο ὁ ἄνθρωπος εἰς ψυχὴν ζῶσαν, ἔτ' αὐτὴ ὑπῆρχεν ἡ ἀνθρωπίνη ψυχὴ, μέρος γὰρ ἂν ἦν· ἔτωγε τῆς Θείας ἐσίας, ἔτε μὴν ἡ τῆ Θείε Πνεύματος ὑπόσασις· ἦ γὰρ ἂν ἐσαρκῆτο τὸ Ἅγιον Πνεῦμα, ἕτερον ἄρα ἡ τῆ Πνεύματος ὑπόσασις καὶ ἕτερον ἡ ἐμφυσομένη χάρις.

ΚΕΦΑΛΑΙΟΝ νβ'.

Εἰ τὸ μετὰ τὴν Ἀνάςασιν παρὰ τῆ Κυρίε δι' ἐμφυσήματος τοῖς Ἀποςόλοις δοθὲν, ἐκ

ἡ τῦ Πνεύματος ἦν ὑπόσασις· ἐδέπω γὰρ ἐπεδήμησεν ὁ παράκλητος, ἐδέπω τῦ Κυρίε πρὸς τὸν Πατέρα πεπορευμένε, ἕτερον ἄρα ἡ τῦ Πνεύματος ὑπόσασις, καὶ ἕτερον ἡ δι' ἐμφυσήματος διδομένη κοινὴ τῆς Τριάδος χάρις.

ΚΕΦΑΛΑΙΟΝ νγ'.

Εἰ πρὸ τῦ Δεσποτικῦ πάθες ἔπω ἦν Πνεῦμα Ἅγιον, ὅτι Ἰησῦς ἐδέπω ἐδοξάθη, ἕτερον ἄρα τὸ αἰδίως ὂν Πνεῦμα Ἅγιον, τῆς ἐσομένης μετὰ τὸ πάθος ἐν τοῖς ἀνθρώποις αὐτῦ χάριτος, Πνεῦμα Ἅγιον καὶ αὐτῆς καλεμένης.

ΚΕΦΑΛΑΙΟΝ νδ'.

Εἰ ὃ λαμβάνει τὶς τῦτο καὶ δίδοται παρὰ τῦ διδόντος· λαμβάνεσι δὲ οἱ λαμβάνοντες ἐ τὴν τῦ Πνεύματος Ὑπόσασιν, ἀλλὰ τὴν χάριν, ἕτερον ἄρα ἡ τῦ Πνεύματος Ὑπόσασις, καὶ ἕτερον ἡ παρὰ τῦ Υἱῦ διδομένη τῦ Πνεύματος ἐνέργειά τε καὶ χάρις.

ΚΕΦΑΛΑΙΟΝ νε'.

Εἰ πανταχῦ παρὼν ὁ Θεὸς ἐ μεταλλάτλει τόπον ἐκ τόπε, ποτὲ μὲν ὧδε, ποτὲ δ' ἐκεῖσε γινόμενος, οὐτ' ἄρα ἀποέλλεται, ἔτε δίδοται, ἔτε ἐκχεῖται ἔτε πηγάζει ἡ τῦ Πνείματος Θεία ὑπόσασις, ἀλλ' ἡ χάρις αὐτῦ Φανερεμένη καὶ ἡ ἐνέργεια· ποτὲ γὰρ ταῦτα πάντα, καὶ τισὶ, καὶ δι' αἰτίαν.

ΚΕΦΑΛΑΙΟΝ νς'.

Εἰ καὶ παρὰ Μωϋσέως ὁ Θεὸς τὸ Πνεῦμα ἀφελὼν ἑτέροις μετέδωκε, καὶ διὰ τῆς ἐπιθέσεως τῶν χειρῶν τῶν Ἀποςόλων ἐδίδοτο Πνεῦμα Ἅγιον, ἀλλὰ καὶ μέχρι νῦν ἐξ ἐκείνων κατὰ διαδοχὴν ἐν τῇ Ἐκκλησίᾳ διαδίδοται τοῖς πιςεύσιν, οὐ ἄρα τὸ διὰ σωματικῆς ἐμφυσήσεως παρὰ τῦ Κυρίε Ἀποςόλοις δοθὲν ἡ τῦ Πνεύματος ἦν ὑπόσασις, ἀλλ' ἡ τὸν Ναὸν ἐκεῖνον πληρώσασα χάρις· „ἐκ „γὰρ τῦ πληρώματος αὐτῦ Φησὶν, ἡμεῖς πάν„τες ἐλάβομεν.

ΚΕΦΑΛΑΙΟΝ νζ'.

Εἰ μέτρῳ καὶ μεριδι τὴν τῦ Πνεύματος Δωρεὰν οἱ πιςοὶ λαμβάνεσι, κατ' ἰσίαν δὲ Θεὸς οὐ μετρεῖται, οὐδὲ μερίζεται, ἕτερον ἄρα ἡ ἀμέριςος ἰσία, καὶ ἕτερον ἡ μεριζομένη καὶ μετρεμένη χάρις.

ΚΕΦΑΛΑΙΟΝ νη'.

Εἰ τὸ ἐπελθὸν τῇ Παρθένῳ Ἅγιον Πνεῦμα ἐκ αὐτὸ ἐσαρκώθη, ἀλλ' ἡ τῦ λόγε ὑπόσασις, ἕτερον ἄρα ἡ τῦ Πνεύματος Ὑπόσασις, καὶ ἕτερον ἡ ἐπιφοιτήσασα τῇ Παρθένῳ χάρις τε καὶ ἐνέργεια πρὸς Ἁγιασμὸν τῆς σαρκὸς αὐτῆς οἱ Θεολόγοι φασὶ, καὶ πρὸς τὸ δύνασθαι φέρειν τὸ Σωτήριον Κύημα· διὰ γὰρ τῦτο τῷ Πνεύματι καὶ ἡ τῦ ὑψίςε δύναμις προσετέθη.

ΚΕΦΑΛΑΙΟΝ νθ'.

Εἰ ἡ παρὰ τῦ Κυρίε ἐξερχομένη δύναμις καὶ ἰωμένη πάντας, Πνεῦμα μὲν Θεῖον ἦν, ἐν γὰρ Πνεύματι Θεῦ Φησὶν ἐκβάλλω τὰ δαιμόνια, ἐκ αὐτὴ δὲ ἡ τῦ Πνεύματος ὑπόσασις ἦν· ὃ γὰρ ἂν περὶ ἐκείνης ἔλεγεν, ἔγνων δύναμιν ἐξελθῦσαν ἀπ' ἐμῦ· ἕτερον ἄρα ἡ τῦ Πνεύματος ὑπόσασις, καὶ ἕτερον ἡ παρὰ τῦ Υἱῦ ἐκδιδομένη δύναμίς τε καὶ χάρις.

ΚΕΦΑΛΑΙΟΝ ξ'.

Εἰ ἀπὸ τῦ Θεία Πνεύματος ἐπὶ πᾶσαν σάρκα ἐκχεομένε ὡς ἡ ὑπόσχεσις οἱ Ἀπόςολοι καὶ οἱ λοιποὶ μετέχεσιν, ἐκ ἄρα κτίσμα τὸ ἐν αὐτοῖς γινόμενον Πνεῦμα, καθὸ Πνευματικοὶ χρηματίζεσι.

ΚΕΦΑΛΑΙΟΝ ξα'.

Εἰ τὸ ἐν τῷ Παύλῳ Πνεῦμα κτισὸν ἦν, καὶ ὁ τῦ Χριςῦ νῦς ὃν εἶχε ἔσαι κτισὸς, καὶ αὐτὸς ὁ Χριςὸς ὁ ἐν αὐτῷ λαλῶν, ἀλλὰ ταῦτα πάντα τὴν Θείαν χάριν δηλῦσι καὶ τὴν ἐνέργειαν, ἄκτισόντε καὶ ἀΐδιον ἔσαν.

ΚΕΦΑΛΑΙΟΝ ξβ'.

Εἰ τῇ Θεοτόκῳ τε καὶ τοῖς Ἀποςόλοις Πνεῦμα Ἅγιον καὶ δύναμις ὑψίςε ἐπήγγελται, ἐκ ἀπεδήμησε δὲ τῇ Θεοτόκῳ ἡ τῦ Πνεύματος ὑπόσασις· ἐδὲ γὰρ αὐτὴ ἐσαρκώθη, ἐδ' ἄρα τὸ ἐπιφοιτῆσαν τοῖς Ἀποςόλοις, ἡ τῦ Πνεύματος ὑπόσασις ἦν, ἀλλ' ἡ χάρις καὶ ἡ ἐνέργεια, ἥτις καὶ ἐνέπλησεν αὐτὰς, ἐν εἴδει γλωσσῶν πυρίνων ἐπιφανεῖσα καὶ διαμεριθεῖσα, ἐσιωδῶς ἐπιφοιτῆσαν τὸ

τὸ Πνεῦμα ἔρηται, διότι ἐ μέρος τὶ τῆς ἐνεργείας ὡς πρότερον, ἀλλ' ὅλη ἡ ἐνέργεια ἐξεχύθη, ἥτις ἐςὶν συνημμένη καὶ ἀχώριςος τῇ ἰσίᾳ καὶ κοινὴ τῶν τριῶν, ὥσπερ καὶ ἡ ἰσία.

ΚΕΦΑΛΑΙΟΝ ξγ'.

Εἰ ἡ τῦ Θεία Πνεύματος Χάρις ἐπιφοιτῶσα τοῖς Μυςηρίοις εἰς τὸ τεθεωμένον αὐτὰ σῶμα καὶ αἷμα μετασκευάζει, πῶς ἄρα κτίσμα ἡ τοσῦτον ὑπερφυῶς δυναμένη.

ΚΕΦΑΛΑΙΟΝ ξδ'.

Εἰ τὰ ἐπαναπαυσάμενα τῷ Χριςῷ κατὰ τὴν Προφητείαν ἔπτὰ Πνεύματα, τὸ Πνεῦμα ἦν αὐτὸ τῦ Θεῦ ταῖς ἑαυτῦ ἐνεργείαις ἐπιφοιτῆσαν· ἔτω γὰρ καὶ ἐμφέρεται, τῦτο δ' ἐκ ἐςὶ κτίσμα, ἐδ' ἄρα τὰ ἐν τοῖς Ἀποςόλοις καὶ τοῖς λοιποῖς Πνεύματα, κτίσματα, λέγω δὴ τὰ Πνευματικὰ χαρίσματα.

ΚΕΦΑΛΑΙΟΝ ξε'.

Εἰ πᾶν δώρημα τέλειον ἄνωθέν ἐςὶ καταβαῖνον ἀπὸ τῦ Πατρὸς τῶν Φώτων, ἐδὲ ἄρα τέλειον τῶν ἐν ἡμῖν Φυσικῶν, ἢ διὰ σπυδῆς ἐπικτήτων, μήτιγε δὲ ἡ Θέωσις, ἣ Θεῦ μόνε προδήλως καθέζηκεν.

ΚΕΦΑΛΑΙΟΝ ξς'.

Εἰ τῦ Θεία μετέχοντες Δώρε κωνωνοὶ γινόμεθα Θείας Φύσεως, ὡς ὁ Θεσπέσιος ἔφη Πέτρος, ἐκ ἂν εἴη κτισὸν τῦτο τὸ Δῶρον, ὃ καλεῖται Θεαρχία καὶ Θέωσις, ἔτι δὲ καὶ Θεότης.

ΕΙΣ

ΜΑΡΚΟΝ ΤΗΣ ΕΦΕΣΟΥ.

Τῶν Ὀρθοδόξων τὸ Σύζημα, εὐσεβῶς μακαρίζεισε Μάρκε τῆς Ἐφέσε πρόεδρε, ὡς εὐσεβείας σύλον σεβρόν· σὺ γὰρ ἤλεγξας τὴν βλάσφημον γνώμην τῶν κακοδόξων Ἰταλῶν, καὶ Πνευματομάχες καθαρῶς τοῖς πᾶσι γνωρίσας, ὡς τὴν μοναρχίαν τῆς Θεότητος εἰς δυαρχίαν τέμνοντας· Γεμισὸν καὶ Βησσαρίωνα ὡς χρισοκαπήλες καὶ ξένες Θεῦ ἀποφήνας, καὶ τὰ τύτων Συγγράμματα, ὡς ἐναγῆ καὶ βέβηλα βδελυξάμενος, καὶ τὴν Ὀρθόδοξον Πίζιν ἄτρωτον ἐφύλαξας· διὰ τῦτο ἅπασα ἡ τῶν πιςῶν Ἐκκλησία δεξάζεισε· ἣν ταῖς σαῖς ἱκεσίαις περιφύλατλε Μακάριε, ἀκαταγώνιζον καὶ ἀκλυδώνιζον ἐξ αἱρέσεως πάσης· καὶ πρέσβευε Χριζῷ τῷ Θεῷ τῷ ὑπὲρ αὐτῆς τὸ ἴδιον αἷμα ἐκχέαντι, ἵνα σώσῃ τὰς ψυχὰς ἡμῶν.

Δόξα τῷ ἐν ὑψίζοις Θεῷ.

ΝΙΚΗΤΑ ΒΥΖΑΝΤΙΟΥ

ΦΙΛΟΣΟΦΟΥ ΚΑΙ ΔΙΔΑΣΚΑΛΟΥ

ΚΕΦΑΛΑΙΑ, ΚΔ. ΣΥΛΛΟΓΙΣΤΙΚΑ

ΕΚ ΚΟΙΝΩΝ ΠΕΡΙ ΘΕΟΥ ΕΝΝΟΙΩΝ,

Καὶ ἀποδείξεων, καὶ διαιρετικῆς μεθόδε, καὶ διαλεκτικῶν ἀφορμῶν, καὶ Φυσικῶν ἐπιχειρημάτων τεχνολογηθέντα κατὰ τῶν δυσσεβῶς, καὶ ἀθέως ἐν τῷ Θείῳ Συμβόλῳ τῆς Ὀρθοδόξε τῶν Χριστιανῶν Πίστεως προσεθέντωντε, καὶ λεγόντων, καὶ δοξαζόντων περὶ τῆ Παναγίε, καὶ ζωαρχικῆ, καὶ Θείε Πνεύματος, καὶ εἰς τὸ Πνεῦμα τὸ Ἅγιον τὸ Κύριον τὸ ζωοποιὸν, τὸ ἐκ τῆ Πατρὸς καὶ τῆ Υἱῆ ἐκπορευόμενον· μὴ μέντοιγε ἐκ τῆ Πατρὸς μόνε, καθὼς ὁ Κυριακὸς διδάσκει λόγος, καὶ ἡ ἀπὸ περάτων ἕως περάτων Καθολικὴ καὶ Ἀποστολικὴ Ἐκκλησία διαρρήδην ἀνακηρύττουσα καθομολογῆ.

Ποικίλη μὲν καὶ πολυχεδὴς, ὦ Φιλευσεβεῖς ἄνδρες, ἡ τῆ πονηρῆ δαίμονος ἀπάτη κατὰ διαφόρες καιρές τε καὶ χρόνες τὰ γένη τῶν ἀνθρώπων ἀπό τῆς εὐθείας ὁδῆ ἐπὶ τρίβες σκολιὰς, καὶ τραχείας ὁδὲς τῆς δυσσεβείας ἀποσύρουσα, ἐν αἷς ἐκ ἐπίσκοπε Κύριος, καὶ τοσῆτον, ὅσον ἐδὲ μέχρι τῆς δεῦρο ἄρτι κόρον λαβῆσα, ἐπὶ τὸ χεῖρον καταδρομῆς ἠνέχετο· Διάτοι τῆτο πάλαι μὲν αὐτὸς ὁ τῶν ζιζανίων σπορεὺς, καὶ τῆ κακῆ ἐφευρετὴς, δοχεῖα κατάλληλα τῆς ἑαυτῆ σκαιότητος ἐφευρὼν ἐκ κοιλίας φθεγγόμενα, καὶ ἐκ ἀπὸ στόματος Κυρίε, ὅλον τὸν ἰὸν τῆς ἑαυτῆ φθοροποιῆ κακίας ἐν αὐτοῖς ἐκχέας, ἀναισχύντως καὶ ἀπηυθριασμένως κατὰ τῆ Παναγίε καὶ Ζωαρχικῆ καὶ Θείε Πνεύματος, τῆ ἑνὸς τῆς ὑπερσίε, καὶ παντεργικῆς Τριάδος, δυσφήμως δογματίζειν παρεσκεύασεν, ἐν οἷς ἦν καὶ Μακεδόνιος ὁ Πνευματομάχος, καὶ Εὐνόμιος ὁ Θεομάχος, καὶ οἱ τῆς αὐτῆς συμμορίας ὀπαδοῖτε καὶ σύμφρονες, οἳ, τὸ παράκλητον καὶ Ζωαρχικὸν καὶ Θεῖον Πνεῦμα ἐκ τῆς ἀγεννήτε καὶ ὑπερσίε καὶ ἀκαταλήπτε Θείας Φύσεως ἀσεβῶς καὶ ἀθέως ἀποτέμνοντες, εἰς κλίσμα κακῶς οἱ δήλαιοι κατήγαγον, καὶ τρίτον τῆ Φύσει ἀπό τῆ Θεῆ καὶ Πατρὸς, καὶ τῆ ἐνυποσάτε καὶ Ζωαρχικῆ Θείε Λόγε, ἀφορίζοντες, ἕταλτον, καὶ τρανῶς ἐδογμάτιζον, ὧν τὸ θεοσυγὲς τετὶ καὶ ἄθεον δόγμα τὸ τηνικάδε Θεῆ χάριτι παρὰ τῶν τροφίμων τῆς Ἐκκλησίας σαφῶς ἀπελεγχθὲν, σφοδρῶς ἀπελήλατο, καὶ φρῆδον ἀποδέδεικται, καὶ σιγῆ παραδέδοται. νυνὶ δὲν φήμης τινὸς εἰς ἡμᾶς περιαγγελθείσης, ὅτιπερ ὁ αὐτὸς μισόκαλος σατὰν περὶ τὰ ἑσπέρια μέρη ἐν προχήματι μὲν ὀρθοδοξέντων, ἄνδρας δ' καλῶς περὶ τὴν πίστιν διακεισμένες, καὶ τὸ βέβαιον καὶ ςερέμνιον ἀδαμῶς ἔχοντας λαβόμενος, ἐχ ἥπλωσε δυσσέβειαν τῆς προρρηθείσης ἀσεβείας κατὰ τῆ Παρακλήτε καὶ Ζωαρχικῆ Θείε Πνεύματος ἀναφωνδὸν κηρύττειν ἐξεπαίδευσεν, ὁποῖον δ' ἂν ἦ τὸ περιαγγελθὲν ἡμῖν τετὶ ἀπευκτότατον καὶ θεοσυγὲς δόγμα, παραπλήσιον δὲ τῆς ἑλλήνων μυθοποιΐας ἀναπλαττόμενον, ὁ τῆς ἀληθείας λόγος παραδηλάσει. τῆς γὰρ ἀνάπασαν τὴν οἰκεμένην Καθολικῆς Ἐκκλησίας ἐκ τῶν Κυριακῶν Λόγων, καὶ τῆ περὶ τὴν πίστιν Θείε Συμβόλε τῆ παρὰ τῶν Ἁγίων καὶ Οἰκεμενικῶν Συνόδων, φημὴ δὴ τῆς Πρώτης καὶ Δευτέρας ἐκφωνηθέντος, καὶ εἰς πᾶσαν τὴν γῆν καὶ θάλατταν ταῖς τῶν πιστῶν Ἐκκλησίαις παραδοθέντος, καὶ ἕως τῆ νῦν διακρατηθέντος, δοξαζέσαις καὶ ὁμολογέσαις πιστεύειν εἰς ἕνα Θεὸν Πατέρα παντοκράτορα ποιητὴν ἐρανῆ καὶ γῆς, καὶ εἰς ἕνα Κύριον Ἰησῆν Χριστὸν τὸν Υἱὸν τῆ Θεῆ τὸν μονογενῆ, καὶ εἰς ἓν Πνεῦμα Ἅγιον τὸ ζωοποιὸν τὸ ἐκ τῆ Πατρὸς ἐκπορευόμενον, ὃ μὴν δὲ καὶ ἐκ τῆ Υἱῆ, τὸ σὺν Πατρὶ καὶ Υἱῷ συμπροσκυνέμενον καὶ συνδοξαζόμενον, καὶ ὅσα πρὸς τέτοις περιέχει τὸ Θεῖον Σύμβολον, τινὲς, ὡς ἔφθημεν εἰ πόντες, ἐκ τῆς τῆ μισοκάλε δαίμονος κακοβελίας, ἀποβεκοληθέντες, καὶ κατὰ πολὺ τῆς ἀληθείας ἀποσφαλέντες, τὸ Πανάγιον καὶ Παντεργὸν καὶ Θεῖον Πνεῦμα, ἐκ τῆ Υἱῆ ἐκπορεύεσθαι, καθὼς καὶ ἐκ τῆ Πατρὸς, ὁμοιοτρόπως δογματίζειν ἐπιχειρῆσι, μὴ συνορῶντες οἱ τάλανες τὸν ἐντεῦθεν ἀναφαινόμενον βόθυνον, καὶ τὰ ἑπόμενα παμπληθῆ ἀσεβήματα. Τοιγάρτοι τῆδε ἡμῖν διαγγελθέντος τῆ δυσσεβήματος, ἐπυρώμην, ἐποτνιώμην, ἐδυχέραινον, καὶ διαπύρῳ καὶ Θείῳ ζήλῳ βαλλόμενος, ἐμαυτὸν ἐπιδέδωκα πρὸς ἔλεγχον καὶ ἀνατροπὴν τῆδε τῆ δυσσεβήματος ἐπυρώμην, ἠχαλε δὲ ἡ διάνοια, καὶ παντελῆ ἀναβολὴν τῆς τοιαύτης πρῆτρεπεν ἐγχειρήσεως· μήπως ὁ τῆς εὐσεβείας καὶ τῆ ὀρθῆ δόγματος λόγος ἀκροτηριαθῆ, παρὰ τὸ ἡμᾶς μὴ διαρκέσαι πρὸς τὴν ὑπόθεσιν. ὅμως δ' ἔν τὸν ἐκ τῆς σιωπῆς ἐπηρτισμένον ὑφορόμενοι κίνδυνον, αὐτὸ τὸ Ζωαρχικὸν καὶ Θεῖον Πνεῦμα, περὶ ἧ ἡμῖν ὁ ἀγὼν ἐνέστηκεν, σὺν τῷ Πατρὶ καὶ τῷ Υἱῷ ἐπικαλεσάμενοι, ὡς τὸν μὲν, εὐδοκεῖν, τὸν δὲ, συνεργεῖν, τὸν δὲ, ἐμπνέειν, μᾶλλον δὲ μίαν ἐκ τῆς μιᾶς Θεότητος γενέθαι τὴν ἔλλαμψιν ἐλπίσαντες, εἰς τετονὶ τὸν ἀγῶνα ἑαυτὲς καθήκαμεν, καὶ ὅση δύναμις ἐγχωρεῖ, καὶ λόγος. ἐν ἀνοίξει τῆ στόματος παρ' αὐτῆς τῆς ὑπερσίε καὶ ζωαρχικῆς Τριάδος ἡμῖν χορηγηθῆναι, Συλλογιστικά τινα Κεφάλαια ἐκτιθέμεθα εἰς ἔλεγχον καὶ ἀνασκευὴν τῆδε τῆ δυσσεβήματος, διόρθωσιν δὲ τῶν ἀποσφαλέντων τῆς ἀληθείας, καὶ ςηριγμὸν καὶ ὠφέλειαν τῶν ἐντυγχανόντων τροφίμων τῆς εὐσεβείας. ἔχει δὲ τὸ πρῶτον Κεφάλαιον ὧδε.

ΚΕΦΑΛΑΙΟΝ ά.

Ἐ πᾶσι μὲν τοῖς τὰ Θεῖα Δόγματα ἐκ τῶν Ἱερῶν Λογίων, καὶ τῶν κοινῶν περὶ Θεῆ ἐννοιῶν καλῶς διεσκεμμένοις ὡμολόγηται, ὅτι τῶν ἐπὶ τῆς θεολογίας ὀνομάτωντε καὶ πραγμάτων, τὰ μὲν κοινῶς καὶ ταυτοτρόπως, καὶ συνωνύμως ἐπὶ τῆς τῶν τριῶν Θεαρχικῶν ὑποσάσεων Ἰσομοίρως τὴν κατηγορίαν ἐμφαίνεσιν, οἷον τὸ Θεὸς, τὸ Κύριος, καὶ ὅσα τέτοις παραπλήσια. ἃ δὲ καὶ τὴν κατ' οὐσίαν καὶ Φύσιν, ὑπαρξιν τῆς Θεαρχικῆς Τριάδος τῆ ἑνὸς ὄντος Θεῆ καὶ Κυρίε ἀδαμῶς δηλῆσιν, ἀλλ' ἓν ἐμονοτρόπως, εἰ καὶ ἄλλως πῶς τὸ λέγεθαι παρεμφαίνουσιν· ἀλλὰ τὰ μὲν, ἐξ ἀποφάσεως εἴρηται, ἃ τι ἐκ ἔςι δηλῆσιν, ὡς τὸ ἀόρατον, καὶ ἀκαταλήπλον, καὶ ἄπλιςον, καὶ τὰ τέτοις παραπλήσια. τὰ δὲ, χέσιν τινὰ πρός τι τῶν ἀντιδιαςελλομένων σημαίνει, ὡς τὸ Κύριος, καὶ Βασιλεὺς. καὶ γὰρ τῶν βασιλευομένων λέγεται Βασιλεὺς, καὶ τῶν κυριευομένων Κύριος. τὰ δὲ ἐξ ἐνεργείας, οἷον τὸ Θεὸς, καὶ Ζωὴ, καὶ Φῶς, καὶ ὅσα τοιετοτρόπως. καὶ γὰρ ἐκ τῆ θέειν καὶ περιέπειν τὰ σύμπαντα, ἢ ἐκ τῆ αἴθειν, ὃ ἐςι καίειν, ἢ ἐκ τῆ θεᾶθαι τὰ σύμπαντα. ἀλάθητος γάρ. τὰ δὲ ἐκ τῶν παρεπομέναν τῇ Θείᾳ Φύσει. ὡς τὸ, ἀγαθὸν, καὶ δίκαιον, καὶ ὅσιον, καὶ τὰ τοιαῦτα. παρέπονται γὰρ ταῦτα τῇ Θείᾳ Φύσει, αὐτὴν δὲ ἐδόλως δηλῆσι. τὰ δὲ, ἰδίως καὶ διακεκριμένως ἐπὶ μιᾶς τῶν Θεαρχικῶν ὑποσάσεων λέγεται. οἷον ἐπὶ μὲν τῆ Πατρὸς, τὸ ἀναίτιον, καὶ ἀγένητον, καὶ ἄναρχον κατ' αἰτίαν, καὶ αὐτὴ ἡ Πατρότης, καὶ τὸ προβολεὺς, καὶ ὅσα τῆς Πατρικῆς καὶ μόνης ὑποσά

ὑποστάσεως, ὡς ἀναντίᾳ, καὶ ἀνάρχᾳ, καὶ πρώτης αἰτίας κατηγορεῖνται. τὰ δὲ ἐπὶ τῷ Υἱῷ, οἷον, τὸ γεννητὸν, καὶ τὸ γέννημα. τὰ δὲ ἐπὶ τῷ Παναγίῳ Πνεύματος, οἷον, τὸ ἐκπορευτὸν, καὶ τὸ πρόβλημα. δηλονότι χωρὶς τῶν κοινῶς μὲν μὴ ταυτοτρόπως δὲ λεγομένων, ἐν οἷς ἂν κατηγορῶνται διὰ τὸ αἰτιατόν. ὅπερ τῷ Υἱῷ ὡς γεννήματος κατηγορεῖται, τῷ δὲ Πνεύματος ὡς προβλήματος, καὶ διὰ τοῦτο μὴ ἐπὶ τῶν τριῶν Θεαρχικῶν ὑποστάσεων κοινῶς θεωρεμένων. τούτων ἓν ἡμῶν διορισαμένων, σκοπεῖν ἐστι τὸ βλάσφημον τοῖς λέγουσι τὸ Πνεῦμα ἐκπορεύεσθαι τῷ Υἱῷ, ὥσπερ καὶ ἐκ τοῦ Πατρός. εἰ ἓν τὸ Πνεῦμα ἐκ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ ἐκπορεύεται, ἀνάγκη πᾶσα τὸν Υἱὸν προβολέα τε εἶναι τοῦ Πνεύματος, καθὰ καὶ ὁ Πατήρ. εἰ δὲ τοῦτο, κοινόν ἐστι Πατρὸς καὶ Υἱοῦ ἡ προβολὴ τοῦ Πνεύματος. εἰ ἓν τοῦτο καθ' ὑμᾶς κοινὸν, ἀνάγκη καὶ τὸ Πνεύματος κατηγορεῖσθαι. τὰ γὰρ ταῖς δυσὶ Θεαρχικαῖς ὑποστάσεσι κοινῶς καὶ ταυτοτρόπως καὶ συνωνύμως κατηγορέμενα, πᾶσα ἀνάγκη καὶ τὸ λοιπὸ κατηγορεῖσθαι. εἰδὲ τοῦτο, ἔσαι τὸ Πνεῦμα, ἢ αὐτὸ ἐξ ἑαυτοῦ πρεῖον, καὶ διὰ τοῦτο αὐτὸ ἑαυτοῦ αἴτιον καὶ αἰτιατὸν, ἢ ἑτέραν ὑπόστασιν προβαλεῖται, ἵνα ἡ τετρὰς τῶν ὑποστάσεων, καὶ ἔτως ἀνήρηται ἡ τριὰς τὸ εἶναι τριὰς, καὶ οἴχεται καθόλε ἡ τοῦ Χριστοῦ πίστις. εἰ δὲ ἐκ τῶν ἔτω καθ' ὑμᾶς τὸ Πνεῦμα λέγειν τοῦ Υἱοῦ ἐκπορεύεσθαι, καθὼς ἐκ τοῦ Πατρὸς, τὰ πάντη δύσφημα καὶ δυσσεβείας ἀνάπλεα ἔπεισι, φανερὸν ὅτι ἄρα μόνον ἐκ τοῦ Πατρὸς πρόεισι, καθὼς καὶ ὁ τῆς ἀληθείας λόγος διὰ πρεσβεύει, καὶ ἡ ἀπὸ περάτων ἕως περάτων Καθολικὴ Ἐκκλησία τρανῶς καθομολογεῖ. εἰ δὲ ὁ δι' ἐναντίας ἐνταῦθα λέγων, ἰδὲ τὸ αἰτιατὸν τῶν δύο Θεαρχικῶν ὑποστάσεων εὕρηται κατηγορέμενον, Φημὶ δὴ Υἱοῦ καὶ Πνεύματος, ἐπὶ δὲ τῆς λοιπῆς τῆς Πατρικῆς ὑποστάσεως, ἐδόλως λέγεται. τί κωλύει Πατρὸς καὶ Υἱοῦ κοινὴν εἶναι τὴν προβολὴν, τοῦ δὲ Πνεύματος εἶναι μὴ ἐξ ἀνάγκης συνάγεσθαι, ἀπόχρη πρὸς αὐτὸν εἰπεῖν, ᾧ βέλτιστε, τὸ μὲν αἰτιατὸν εἰ καὶ κοινῶς Υἱοῦ καὶ Πνεύματος κατηγορεῖται, ἀλλ' ἀταυτοτρόπως κατάμφω λέγεται, ἵνα ἢ ἀμφοτέρων ἢ ὡς γέννημα, ἢ ὡς πρόβλημα. ἀλλὰ τὸ μὲν, ὡς γέννημα, τὸ δὲ ὡς πρόβλημα, ἐπειδὴ καὶ διάφορον τὴν πρόοδον ἔχει. ἐπὶ δὲ τοῦ Θεοῦ καὶ Πατρὸς καὶ τοῦ Υἱοῦ ἡ κοινὴ καθ' ὑμᾶς προβολὴ τοῦ Πνεύματος, καταναγκάζει κοινῶς καὶ ταυτοτρόπως λέγεσθαι, εἰ δὲ γὰρ ἂν ἔχοι τὶς διάφορον τὴν ἐκ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ τοῦ Πνεύματος προβολὴν λέγειν, ἵνα μὴ διάφορον τὴν προβολὴν ὁμολογῶν, σύνθετον κἂν μὴ βέληται τὸ Πνεῦμα ὁμολογήσῃ· εἰ δὲ τοῦτο, καὶ διαλυόμενον, καὶ φθειρόμενον, καὶ μυρία πρὸς τούτοις τὰ ἄτοπα ἕψεται. διὸ ἐπὶ μὲν τῶν δύο Θεαρχικῶν ὑποστάσεων κοινῶς τε καὶ ταυτοτρόπως κατηγορεμένε, ἀνάγκη καὶ τῆς λοιπῆς κατηγορεῖσθαι. ἐπὶ δὲ τῶν κοινῶς μὲν, μὴ ταυτοτρόπως δὲ λεγομένων, ἀκ ἀνάγκη ἐπὶ τῶν τριῶν. εἰ δὲ τοῦτο ἀληθὲς, ὥσπερ δὴ καὶ ἀληθὲς, μάταιος ὁ ἐκ τῆς ἀνθυποφορᾶς λόγος δείκνυται.

ΚΕΦΑΛΑΙΟΝ β'.

Ἔτι, εἰ πᾶσι μὲν τοῖς Θεοφόροις Πατράσι δοκεῖ, ἐν οἷς ἡ Θεία Χάρις διὰ βίᾳ καθαρότητα πλεσίως ἐκκέχυται, ἧς ἡ πάντα νᾶν ὑπερέχουσα τοῦ Θεοῦ ἀγαθότης, εἰς οἰκοδομὴν καὶ καταρτισμὸν τῆς Ἐκκλησίας κατὰ τὸν Θεῖον Ἀπόστολον οἰονεὶ διατάκλορας, καὶ νομοθέτας πρὸς τὴν ἐπίγνωσιν τῆς περὶ τὴν ὀρθὴν πίστιν εὐσεβείας ὁδηγὸς ἀνέδειξεν, οἱ ἀριδήλως ἐν ταῖς Θεολογικαῖς αὐτῶν διατυπώσεσιν ἡμᾶς ἐκπαιδεύουσιν, Δαμασκ. Κεφ. ή. καὶ Κεφ. ιγ'. „ὁμολογεῖν μὲν τὸν Θεὸν καὶ „Πατέρα ἀναίτιον καὶ ἀγένητον, ἃ γὰρ ἔκτινος „ἐδὲ ἐξ ἑαυτοῦ τὸ εἶναι ἔχει, ὡς αἴτιος αὐτὸς „ἑαυτοῦ ὤν. ἐδέ τι τῶν ὅσα ἔχει, αὐτὸς δὲ μᾶλ„λον ἀρχὴ καὶ αἰτία τοῦ εἶναι, καὶ τοῦ πῶς εἶναι „Φυσικῶς τοῖς πᾶσιν, ἔτιγε μὴν πηγὴν καὶ αἰτίαν „εἶναι Υἱοῦ ἢ Πνεύματος. ἀλλ' Υἱοῦ μὲν καὶ λόγε „γεννήτορα, προβολέα δὲ ἐκφαντορικῆ Πνεύματος. „τον δὲ Υἱὸν, Υἱὸν μονογενῆ τὸν Κύριον ἡμῶν Ἰη„σᾶν Χριστὸν, τὸν αὐτὸν δύναμιν καὶ σοφίαν τοῦ „Πατρὸς ὄντα, καὶ λόγον ἐσιωδῶς, καὶ ἐνυπο„σίον τῷ Πατρὶ καὶ τῷ Ἁγίῳ Πνεύματι, παντο„δύναμον. τοδέγεμὴν Πνεῦμα Ἅγιον, δύναμιν „τοῦ Θεοῦ καὶ Πατρὸς, ἐκφαντορικὸν τοῦ κρυφίε „τῆς Θεότητος, καὶ δύναμιν ἁγιαστικὴν, καὶ τε„λειωτικὴν πάντων τῶν ὄντων, ἐνυπόστατον, ἤτοι „ἐν ἰδίᾳ ὑποστάσει ὑπάρχον ἀχώριτον καὶ ἀνεκ„φοίτητον τοῦ Πατρὸς καὶ Υἱοῦ. καὶ ὁμοούσιον τῷ Πατρὶ

„Πατρὶ καὶ τῷ Υἱῷ. καὶ πάντα ἔχον, ὅσα ὁ „Πατὴρ καὶ ὁ Υἱὸς, πλὴν τῆς ἀγεννησίας καὶ „τῆς γεννήσεως. ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον, „δι' Υἱοῦ δὲ διαδιδόμενον, καὶ μεταλαμβανόμενον „ὑπὸ πάσης κλίσεως. καὶ πάντα ὅσα ἔχει ὁ Υἱὸς „καὶ τὸ Πνεῦμα, ἐκ τοῦ Πατρὸς ἔχει, καὶ αὐτὸ „δὲ τὸ εἶναι ἐ δημιεργικῶς, ἄπαγε, ἀλλ' ὁ μὲν „γεννητῶς, τὸ δὲ, ἐκπορευτῶς· καὶ εἰμὴ ὁ Πα„τήρ ἐστιν, ἐδὲ ὁ Υἱὸς, ἐδὲ τὸ Ἅγιον Πνεῦμα, καὶ „διὰ τὸν Πατέρα ἔχει ὁ Υἱὸς καὶ τὸ Πνεῦμα πάν„τα ὅσα ἔχει, τῷ χαρακτηριστικῷ καὶ μόνῳ τῆς „ἰδίας ὑποστάσεως ἀδιαιρέτως, ἵν' ἔπω, διαιρέμε„να. διὸ καὶ ὅσα ἀρμοτλει Πατρὶ, πηγῇ, γεν„νήτορι, καὶ προβολεῖ, καὶ ἀρχῇ καὶ αἰτίᾳ τῷ „Πατρὶ προσαρμοσέον. ὅσα δὲ αἰτιατῷ, γεννη„τῷ, λόγῳ, δυνάμει, σοφίᾳ, θελήσει, τῷ Υἱῷ. „ὅσα δὲ αἰτιατῷ ἐκπορευτῷ, ἐκφαντορικῇ καὶ τε„λεσιεργικῇ δυνάμει, τῷ Ἁγίῳ Πνεύματι. καὶ „μέντοι τὸ Πνεῦμα τὸ Ἅγιον ὅτι παρὰ τοῦ Πατρὸς „ἐκπορεύεται, καὶ ἐν τῷ Υἱῷ ἐπαναπαύεται, καὶ „δι' αὐτοῦ διαδίδοται καὶ μεταλαμβάνεται ὑπὸ πά„σης κλίσεως, διὰ τῆς κατὰ τὸν ἥλιον εἰκόνος καὶ „παραστάσεως βεβαιοῦσιν. „Δαμασκ. ὥσπερ γὰρ „ὁ ἥλιος πηγὴ καὶ αἰτία τοῦ τε ἀκλῖνος, καὶ τῆς „ἐλλάμψεώς ἐστιν, διὰ δὲ τῆς ἀκλίνος ἡ ἔλλαμψις „ἡμῖν μεταδίδοται, καὶ αὕτη ἐστὶν ἡ φωτίζουσα „ἡμᾶς καὶ μετεχομένη ἀφ' ἡμῶν. ἔτω καὶ ὁ „Θεὸς καὶ Πατὴρ, πηγὴ καὶ αἰτία ἐστιν Υἱοῦ καὶ „Πνεύματος. τὸ δὲ Πνεῦμα ἐκ Πατρὸς ἐκπορευό„μενον, δι' Υἱοῦ διαδίδοται καὶ πεφανέρωται. ὅθεν καὶ τοῖς μαθηταῖς ὁ Πατὴρ ἐμφανίσας, τὴν τοῦ Παναγίε Πνεύματος χάριν παρέχειν. ταῦτα ἓν ἡμῶν ὡδέπη ὀρθῶς φρονέντων παρὰ τῶν Θεοφόρων Πατέρων, ἀθρεῖ πᾶς ὅστις ἂν ὀρθὰ βλέπειν θέλοι, τὸ περὶ τῶν ἐναντίων δυσσέβημα. εἰ γὰρ, ὥστινες φασὶ, τὸ Πνεῦμα ἐκ Πατρὸς καὶ Υἱοῦ ἐκπορεύεται, ὁμολόγηται δὲ ἡμῖν ἀληθέσατα ἐν ταῖς Θεολογικαῖς ὑποτυπώσεσιν, ὅτι τὸ Πνεῦμα ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον, δι' Υἱοῦ δίδοται, καὶ ἐν τῷ Υἱῷ ἐπαναπαύεται, ἅματε καὶ τῷ Πατρὶ συνάπλεται. ἐκπορεύεται δὲ κατ' ἐκείνες καὶ ἐκ τοῦ Υἱοῦ, ἀνάγκη δὲ δεῖδαι τὸν Υἱὸν ἑτέρᾳ Υἱοῦ ἐν τῇ φανερώσει καὶ μεταδόσει τῇ ἐξ αὐτοῦ τοῦ Πνεύματος. εἰδὲ τοῦτο, ἔσαι ἔτος Υἱοῦ Υἱος, καὶ διὰ τοῦτο υἱωνὸς ἀναφαινόμενος, καὶ πάλιν κατὰ τὰς αὐτῶν ὑποθήκας, ἔσαι ἐκ τοῦ υἱωνοῦ Πνεῦμα πεφηνὸς, καὶ ἐκεῖνο πάλιν δείσεται ἑτέρε. καὶ τοῦτο ἐπ' ἄπειρον. ἐκ ἄρα κατὰ τῶν ἐκείνων ὕθλον ἐκπορεύεται τὸ Πνεῦμα τοῦ Υἱοῦ, καθὼς ἐκ Πατρὸς, εἰδὲ τοῦτο, Φανερὸν ὅτι ἐκ Πατρὸς καὶ μόνε, καθὰ καὶ ἡ ἀνελπάσαν τὴν οἰκεμένην Ἐκκλησία, ἀνέκαθεν καὶ σήμερον ὀρθῶς δοξάζει.

ΚΕΦΑΛΑΙΟΝ γ'.

Ἔτι, εἰ πᾶσι μὲν τοῖς ὀρθῶς φρονῦσιν ὡμολόγηται, ὅτι τὰ κοινὰ τῆς κλίσεως, ἀκοινώνητα τῷ Ἁγίῳ Πνεύματι, καὶ τὰ ἴδια τοῦ Ἁγίε Πνεύματος, ἀκοινώνητα τῇ κλίσει, ὡσαύτως καὶ τὰ κοινὰ τῆς κλίσεως ἀλλότρια Πατρὸς καὶ Υἱοῦ, καὶ τὰ κοινὰ Πατρὸς καὶ Υἱοῦ ἀκοινώνητα τῆς κλίσεως. ἐξ ὧν συνάγεται ἐ μόνον ὁμοούσιος ἡ ὑπερούσιος Τριὰς, ἀλλ' ὅτι καὶ τὰ κοινὰ Πατρὸς καὶ Υἱοῦ, καὶ τοῦ Πνεύματος ἐστι κοινά. [Βασίλ. εἰς τὸν ἑ. κατ' ἀνομίε. Διονύσ. ἀρεοπαγ. καὶ ἄλλοι.] καὶ γὰρ ἐν οἷς ἐν τῇ Θείᾳ Γραφῇ εὕρηται κοινῶς χαρακτηριζόμενος ὁ Πατὴρ καὶ ὁ Υἱὸς, ἐκ τότε χαρακτηρίζεται καὶ τὸ Πνεῦμα, ὥσε δηλονότι, ὅτι τὰ κοινὰ τῷ Υἱῷ καὶ τῷ Πατρὶ προσόντα, καὶ τοῦ Πνεύματος ἐστὶ κοινά. ἔστι δὲ Πατρὸς καὶ Υἱοῦ ἡ τοῦ Πνεύματος ἐξ αὐτῶν ἐκπόρευσις, ὥστινες φασὶν, ἀνάγκη καὶ τοῦ Πνεύματος εἶναι. εἰδὲ τοῦτο, ἢ ἐξ ἑαυτοῦ τὸ Πνεῦμα ἐκπορεύεται καὶ ἔσαι κατὰ ταυτὸν αὐτὸ ἑαυτοῦ αἴτιον καὶ αἰτιατόν. ἢ ἕτερον προβαλεῖται Πνεῦμα, καὶ τοῦτο πάλιν κατὰ τὸ συναγόμενον ἄλλο, καὶ τοῦτο ἐπ' ἄπειρον, ὅπερ καταπολὺ χεῖρον τῆς ἑλλήνων μυθοποιίας εὕρηται, ἐκ ἄρα καὶ ἐκ τοῦ Υἱοῦ τὸ Πνεῦμα ἐκπορεύεται, καθὼς καὶ ἐκ τοῦ Πατρός.

ΚΕΦΑΛΑΙΟΝ δ'.

Ἔτι, εἰ τὸ Πνεῦμα ἐκ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ ἐκπορεύεται, ὥστινες φασὶν, ἀνάγκη, ἢ ἅμα ἄχρονον καὶ συναίδιον εἶναι τὴν πρόοδον τοῦ Πνεύματος ἐκ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ, ἢ κατὰ τὰ πρῶτον καὶ ὕτερον. ἀλλ' εἰμὲν κατὰ τὸ πρῶτον καὶ ὕτερον, κἂν ἐν ὁποτέρῳ ᾖ, πρόδηλον τὸ βλάσφημον. ἔσαι γὰρ τὸ Πνεῦμα αὐτὸ ἑαυτοῦ πρῶτον καὶ ὕτερον, καὶ ἀΐδιον καὶ ἐκ ἀϊδίου, καὶ πρόσφατον καὶ ἐ πρόσφατον, καὶ ὑπὸ χρόνον τὸ ὑπερχρόνιον. (ἐπειπερ ἅμα ἡ πρόοδος τοῦ Πνεύ-

ματος, καὶ ἡ ὕπαρξις τὸ εἶναι πρόσεσιν) ὅπερ ἐσὶ πάσης βλασφημίας ἀνάμεσον. εἰ δὲ ἅμα καὶ ἄχρονον καὶ συναΐδιον ἐξ ἀμφοτέρων, φημὶ δὴ Πατρὸς καὶ Υἱὸ ἐκπορεύεται, ὅπερ ὡς ἰχυρὸν διατιθέμενοι προβάλλονται, ἐρωτητέον αὐτές. πῶς φατέ; εἰ μὲν ὡς προταίτιον ἐξ ἀμφοτέρων ἐποιεν, πρόδηλον καὶ ἔτως τὸ βλάσφημον. ἔσονται γὰρ ἐν τῇ ὑπερσίῳ καὶ ὑπερφυεῖ καὶ ζωαρχικῇ Τριάδι, δύο ἀρχαὶ καὶ ἀναρχοι κατ' αἰτίαν ὑποσάσεως. καὶ διὰ τῦτο, δύο αἴτια, καὶ δύο ἀρχαὶ, καὶ δύο ἀναίτια, καὶ ἄναρχα κατ' αἰτίαν, καὶ εἰς πολυθεΐαν τὰ τῶν Χρισιανῶν μεταφέρσι, ὕβριν ἐ τὴν τυχῦσαν τῇ ζωαρχικῇ καὶ ὑπερσίῳ Τριάδι προσάπλοντες. εἰ δὲ μὴ προταιτίως εἰ καὶ ἅμα καὶ συναϊδίως, ἀλλ' ἢ προσεχῶς καὶ πορρωτέρως; ἢ πρώτως; ἢ πρώτως καὶ δευτέρως; καὶ ἔτω πρόχειρον τὸ δυσσέβημα. πρῶτον μὲν ὅτι μᾶλλον ἔσα ὁ Πατὴρ αἴτιος τῦ Πνεύματος, ἦπλον δὲ ὁ Υἱός. τὸ γὰρ πρώτως αἴτιον, μᾶλλον αἴτιον αἵτε κοινὴ ἔννοια, καὶ ὁ τῆς ἀληθείας ἐθησι λόγος. ὅπερ ἐπὶ τῆς ἀπαραλλάκτε καὶ ἀναλλοιώτε Θείας Φύσεως, καὶ ἐπὶ τῶν Θεαρχικῶν Ὑποσάσεων, τὸ μᾶλλον καὶ ἧπλον εὑρεῖν ἐκ ἔσι, διὰ τὸ Ἰσομοίρως καὶ Ἰσοκλεῶς πάντα τὰ κοινὰ ἐν ταῖς Θεαρχικαῖς ὑποσάσεσι προσεῖναι. ἔπειτα τί ὑμῖν δοκεῖ. τελείως ἡ ἐκ τῦ Πατρὸς τῦ Πνεύματος ἐκπόρευσις ἔνεσιν, ἢ ἔ; [Φωτίε. ς'. ἐπιχείρ.] εἰ μὲν ἐ τελείως, καὶ διὰ τῦτο συλλήπλορα τὸν Υἱὸν ἔχει ἐν τῇ τῦ Πνεύματος προβολῇ, ἀτελὴς ἔσα ὁ Πατὴρ καὶ τὸ Πνεῦμα, καὶ διατῦτο ἐ τέλειος Θεὸς ὁ Πατὴρ, ἔτε μὴν τὸ Πνεῦμα· εἰ δὲ τὸ ἔτως λέγειν παντὸς ἀσεβήματος ἔσιν ἐπέκεινα, τελεία ἡ ἐκπόρευσις. ἐπεὶ καὶ τέλειος Θεὸς τὸ Πνεῦμα, ἐκ τελείε δηλονότι τῦ Θεῦ καὶ Πατρὸς ἀχρόνως προελθόν· εἰ δὲ τῦτο, περιτὴ καὶ ματαία ἡ ἐκ τῦ Υἱῦ πρόοδος τῦ Πνεύματος. ἐδὲ γὰρ ἂν εἰπεῖν τις ἔχῃ αἰτίαν, δι' ἣν ἐκ τῦ Υἱῦ τὴν πρόοδον τὸ Πνεῦμα ἔχει. ἐπεὶ ἓν ὁ λόγος ἐξ ἀφύκτε, καὶ ἀναγκαίας διαιρέσεως τὸ παρ' αὐτῶν δογματιζόμενον περὶ τῆς προβολῆς τῦ Πνεύματος τῆς ἐκ τῦ Υἱῦ, ἔδειξεν καταπολὺ τὴν ἀσέβειαν ἔχον, φανερὸν ὅτι ἐκ τῦ Πατρὸς καὶ μόνε πρόεισι. τῦτον πηγὴν καὶ αἰτίαν μόνον ἐπιγραφόμενον, ἐ γεννητῶς, ἀλλ' ἐκπορευτῶς, καθὰ καὶ ἡ ἁνὰ πᾶσαν τὴν οἰκεμένην ὀρθοτομῦσα Ἐκκλησία, ἀνέκαθεν, καὶ σήμερον τραν῀ς διακηρύτ῀ει. εἰ δὲ ὁ δι' ἐναντίας αὖθις ἐνσαίη λέγων, τὸ αὐτὸ καὶ ὑμῖν ἔψηται ἄτοπον, δι' ὧν ἡμᾶς πειρᾶσθε παρακρέειν, ἐπεὶ καὶ ὑμεῖς φατὲ ἐπὶ τῆς ζωαρχικῆς καὶ ὑπερσίε Τριάδος, τὸν μὲν Πατέρα, ἐυδοκεῖν, τὸν δὲ Υἱὸν, ἐνεργεῖν, καὶ τὸ Πνεῦμα τὸ Ἅγιον συνεργεῖν. ἐκ ἔν καθ' ὑμᾶς ἔσαι ὁ Πατὴρ ἄμοιρος ἐνεργείας, ἢ ὁ Υἱὸς ἀτελὴς, ἐν τῷ ἐνεργεῖν τὸ Πνεῦμα συνεργὸν ἔχον, ἆρα μὴν καὶ ὁ Υἱὸς καὶ τὸ Πνεῦμα, ἄμοιροι Πατρικῆς εὐδοκίας. εἰ δὲ τὸ ἔτως ἐκφωνεῖν περὶ τῶν Θεαρχικῶν Ὑποσάσεων ἐκ τῶν Ἱερῶν Λογίων μυηθέντες, τὴν ἐθησιν ἔχετε, καὶ ἐδαμῶς ὑμᾶς τῆς ἀληθείας λόγος καταμωμήσεται. ἐδὲ γὰρ τὴν ὁπωσῦν ἀτέλειαν ἐπὶ τῶν Θεαρχικῶν ὑποσάσεων προσάπλετε. ὡσαύτως γεμὴν καὶ τὸ Πνεῦμα ἡμεῖς ὁμολογῦντες ἐκ τῦ Θεῦ καὶ Πατρὸς ἐκπορεύεθαι, καὶ διὰ Υἱῦ διαδίδοθαι καὶ μεταλαμβάνεθαι παρὰ πάσης κλίσεως, πῶς ἐχὶ καὶ ὑμεῖς ἀδυναμίας γραφὴν προσάπλοντες τῷ Θεῷ καὶ Πατρὶ ἀπενέγκοισθε; εἴπερ προβολεὺς ὁ Πατὴρ ἐσὶ καθ' ὑμᾶς, διὰ λόγε ἐκφαντορικῦ Πνεύματος, [Δαμασκ.] τὶ ἓν κωλύει τελείας ἴσης τῆς Πατρικῆς προβολῆς διὰ τὴν μίαν σύμπνοιαν καὶ ὁμόνοιαν θέλησίν τε καὶ βέλησιν καὶ ἐνέργειαν, καὶ τ' ἄλλα πάντα κοινὰ, Πατρὸς καὶ Υἱῦ, ἐυδοκεῖν τὸν Θεὸν καὶ Πατέρα καὶ ἐκ τῦ Υἱῦ καθὼς καὶ ἐξ αὐτῦ τὴν πρόοδον τῦ Πνεύματος εἶναι; ἐπεὶ καὶ τὸ Πνεῦμα παρὰ τῇ Γραφῇ ἐυρηται Πατρὸς λεγόμενον Πνεῦμα· ἐν τῷ λέγειν, πῦ πορευθῶ ἀπὸ τῦ Πνεύματός σε, καὶ ἀπὸ τῦ προσώπε σε πῦ φύγω; καὶ ἀλλαχῦ, ἐξαποσελεῖς τὸ Πνεῦμα σε καὶ κτισθήσονται. καὶ ἀνακαινιεῖς τὸ πρόσωπον τῆς γῆς; ὡσαύτως γεμὴν καὶ τῦ Υἱῦ παρὰ τῇ Γραφῇ ἐυρηται λεγόμενον, οἷον, ἔτις Πνεῦμα Θεῦ ἔκ ἔχει, ἔτος ἔκ ἔσιν αὐτῦ. καὶ πάλιν ἐξαπέσειλεν ὁ Θεὸς τὸ Πνεῦμα τῦ Υἱῦ αὐτῦ εἰς τὰς καρδίας ἡμῶν κράζον ἀββᾶ ὁ Πατήρ. ἢ γὰρ καὶ ὑμεῖς ἐν τῷ ἔτως ἐκφωνεῖν ἀσεβείας γραφὴν ἀπενέγκοισθε, ἢ καὶ ἡμᾶς ματαίως ὡς ἀσεβῦντας ἀποκρέεσθε, καὶ ταῦτα μὲν ὁ δι' ἐναντίας. Εἴπομεν δὲ πρὸς αὐτὸν καὶ ἡμεῖς, ὦ γεγαῖε, ἐν οἷς μὲν μηδὲν ἀναίξιον, μηδὲν ἀπάδον τῇ Θείᾳ Γραφῇ ἐπακολυθεῖ, λέγομεν ἐν τέτοις τὸν μὲν Πατέρα ἐυδοκεῖν, τὸν δὲ Υἱὸν ἐνεργεῖν, τὸ δὲ Πνεῦμα συνεργεῖν. καὶ ἁ δὲ μία ὕβρις τῇ παντοκρατορικῇ καὶ ὑπερσίῳ Τριάδι προσρίβεται. καὶ γὰρ ἐν

ἐν τῇ τῶν ὄντων δημιεργίᾳ, τρία ἐπινοῦμεν, τὴν Προκαταρκτικὴν αἰτίαν τὸν Πατέρα. τὴν Διημιεργικὴν, τὸν Υἱόν. τὴν Τελειωτικὴν τὸ Πνεῦμα. ὥσε θελήματι μὲν Πατρὸς τὰ ὄντα ὑπάρχει, ἐνεργείᾳ δὲ τῦ Υἱῦ εἰς τὸ εἶναι παράγεται, παρσίᾳ δὲ Πνεύματος τελειῦται. ἀλλ' εἰ καὶ ἔτως ὁμολογῦμεν, ἀλλ' ἃ λέγομεν τρεῖς ἀρχικὰς κατ' αἰτίαν ἀνάρχας ὑποσάσεις, ἢ τὸν Πατέρα ἄμοιρον ἐνεργείας, ἢ τῦ Υἱῦ ἀτελῆ τὴν ἐνέργειαν, ἢ πάλιν τὸν Υἱὸν καὶ τὸ Πνεῦμα ἄμοιρον Πατρικῆς διαθέσεως καὶ ἐυδοκίας. ἃ δὲ γὰρ ὁ Πατὴρ, ὁ τὰ πάντα ἐν πᾶσιν ἐνεργῶν ἄμοιρός ἐσιν ἐνεργείας. ἃ δὲ ὁ Υἱὸς ἐλλιπῆ τὴν δημιεργίαν ἔχει, μὴ τελειωμένην παρὰ τῦ Πνεύματος. ἔτε, γὰρ ἂν ἔτε ὁ Πατὴρ προσδεηθῆ Υἱῦ, μόνε τὸ θέλειν, δημιεργῶν, ἀλλ' ὅμως θέλει δι' Υἱῦ. ἔτε ὁ Υἱὸς συνεργείας προσδεηθῆ καθ' ὁμοιότητα τῦ Πατρὸς ἐνεργῶν. ἀλλὰ καὶ ὁ Υἱὸς θέλει διὰ τῦ Πνεύματος τελειῦν. τῷ γὰρ λόγῳ Κυρίε οἱ ἀρανοὶ ἐσερεώθησαν, καὶ τῷ Πνεύματι τὲ σόματος αὐτῦ πᾶσα ἡ δύναμις αὐτῶν. διάτοι τῦτο, ἐν τέτοις ἐπινοῦμεν τὸν μὲν Θεὸν καὶ Πατέρα ἐυδοκῦντα, δημιεργῦντα τὸν λόγον, σερεῦν δὲ τὸ Πνεῦμα. ἐπειδὴ ταῦτα ἔξω τῆς ἀσίας κατ' ἐνέργειαν εἰσὶ, καὶ ἀδὲν ἀπαίσιον ἢ ἀσεβὲς, ἔτω δοξάζοντες, προσρίβομεν τῇ ὑπερσίῳ καὶ ζωαρχικῇ Τριάδι. μᾶλλον δὲ εὐσεβείας μεγίσης ἐχόμεθα. ἐπὶ δὲ τῦ Θεῦ καὶ Πατρὸς, ἐπειδὴ ἃ δύναται ἑαυτὸν ἀρνεῖθαι, καὶ ὅπερ ἐσὶ μὴ εἶναι, καὶ ἔσιν ἀρχὴ καὶ αἰτία τῦ Υἱῦ καὶ τῦ Πνεύματος, καὶ μόνος καὶ Κυρίως ἐσὶ Πατὴρ καὶ προβολεύς. διάτοι τῦτο καὶ συμφύία τῦ Πατρὸς καὶ Υἱῦ μία τίς ἐσιν, καὶ πάντα τὰ Θεοπρεπῆ, κοινὰ πλὴν μόνον τῆς ὑποσατικῆς ἰδιότητος. κἂν σύνδρομον ἔχει τῷ θέλειν τὸ δύνασθαι, ἐκ ἔχει φύσιν ἑαυτὸν ἀπαρνήσασθαι, καὶ αὐτὸ ὅπερ ἐσὶ μὴ εἶναι. ἐν γὰρ τὸ λέγειν τὸ Πνεῦμα ἐκ τῦ Υἱῦ ἐκπορεύεται, καθὼς ἐκ Πατρὸς, κοινὴν εἶναι τὴν προβολὴν Πατρὸς καὶ Υἱῦ δίδωσι. καὶ τὸ ἴδιον τῆς ὑποσάσεως τῆς Πατρικῆς καθὸ πέφυκεν, χαρακτηρίζεθαι ὁ Πατὴρ μόνος ὡς προβολεὺς, ἀπόλλυσι. διάτοι τῦτο ἐκφεύγει καὶ τὸ εἶναι μόνος, ὅπερ ἐσὶν ἀρχὴ καὶ αἰτία. μενῦνγε λεγόντων ἡμῶν ὅτι τὸ Πνεῦμα ἐκπερεύεται ἐκ τῦ Πατρὸς, δι' Υἱῦ δὲ διαδίδοται, καὶ μεταλαμβάνεται ὑπὸ πάσης τῆς κλισῆς Φύσεως, ἔτε αἴτιον τὸν Υἱὸν τῦ Πνεύματος εἰσάγομεν, ἔτε ἀτονίαν τῷ Πατρὸς, εἰ καὶ δι' Υἱῦ χορηγεῖται καὶ μεταδίδοται, ἀλλὰ φυσικῶς πρόσεσιν ἡ ἐκ τῦ Πατρὸς τῦ Πνεύματος δι' Υἱῦ χορηγία καὶ μετάδοσις· καὶ τάτε εἰ θέλεις ἀμυδραάντινα κατανόησιν λαβεῖν ἐκ τῆς εἰκονικῆς ἐμφάσεως τῦ ἡλίε, ἄθρει. ὥσπερ γὰρ ὁ ἥλιος πηγὴ καὶ αἰτία ἐσὶ τῆς τε ἀκτῖνος καὶ τῆς ἐλλάμψεως, φυσικῶς δὲ πρόσεσι διὰ τῆς ἀκτῖνος τὴν ἔλλαμψιν τῦ ἡλίε διαδίδοθαι, καὶ ἡμῖν χορηγεῖθαι, ἔτως καὶ ἐπὶ τῆς τῦ Παναγίε Πνεύματος προβολῆς τῆς ἐκ τῦ Πατρὸς, δι' Υἱῦ δὲ χορηγίας διανοεῖθαι χρὴ, καὶ ἐδὲν ἀνάξιον, ἢ ἀπαίσιον προσρίβεται τῇ Ζωαρχικῇ καὶ ὑπερσίῳ Τριάδι. τὸ δ' αὖ Πνεῦμα παρὰ τῇ Γραφῇ ἐκφωνεῖθαι τῦ Θεῦ καὶ Πατρὸς εἶναι Πνεῦμα, καὶ τῦ Υἱῦ ἔτως ἐπινοῦμεν. τῦ ἓν Πατρὸς μαρτυρεῖται, ὅτι γε ἐξ αὐτῦ ἀχρόνως καὶ συναϊδίως ἐκ τῆς Πατρικῆς ὐσίας προεισι, καὶ αὐτὸν τὸν Θεὸν καὶ Πατέρα καθὸ πρόβλημα ἐπιγράφεται. διάτοι τῦτο καὶ παρὰ τῆς Κυριακῆς Φωνῆς εἴρηται τὸ ἐκ τῦ Πατρὸς ἐκπορευόμενον. τῦ δ' αὖ πάλιν Υἱῦ Πνεῦμα, λέγεται ὡς χορηγῦμενον δι' αὐτῦ, καὶ φανερωθὲν ἡμῖν δι' αὐτῦ, καὶ διὰ τὴν κατὰ Φύσιν οἰκείωσιν τὴν πρὸς αὐτόν. ὅθεν καὶ παρὰ πάσῃ τῇ Γραφῇ ἐχ ἑυρηται ὅτι ἐκ τῦ Υἱῦ ἐκπορεύεται. ἀλλ' ὅτι Πνεῦμα Υἱῦ λέγεται, καθ' ὃν εἴπομεν τρόπον. εἰ δὲ τῦτο ἀληθὲς, ὥσπερ δὴ καὶ ἀληθὲς, μάταιος πάλιν ὁ ἐκ τῆς ἀνθυποφορᾶς τῦ ἐναντίε λόγος ἀποδέδεικται.

ΚΕΦΑΛΑΙΟΝ ε'.

Ἐν ταῖς κοιναῖς ἐννοίαις τοῖς ἀρτίφροσι καὶ ἐλλογίμοις ἀνδράσι, καὶ τὴν τῶν ὄντων Φύσιν ἀκριβῶς ἐπισήσασι, δῆλον καθέσηκεν. ὅτι ἑνὸς ὄντος αἰτίε, αἰτιατὰ πολλάτε καὶ πλεῖσα εἶναι καθοράται ἔντε Φυσικοῖς, ἢ τεχνικοῖς, καὶ προαιρετικοῖς, καὶ χεδὸν εἰπεῖν ἐν πᾶσι πράγμασιν. οἷον, ὁ Ἀδὰμ εἷς ὢν ἄνθρωπος, πολλῶν αἰτιατῶν ἐξ αὐτῦ γεννηθέντων αἴτιος ὡς Πατὴρ ἐγένετο. καὶ Βεσελεὴλ εἷς ὢν πλείσων ὅσων καὶ διαφόρων τῶν ἐν τῇ σκηνῇ πραγμάτων ἐγεγόνει αἴτιος. ὡσαύτως δὲ καὶ ἐπὶ τῶν προαιρετικῶν ἔσιν ἰδεῖν, οἷον, φέρε εἰπεῖν ἐπὶ Πέτρε καὶ Παύλε τῶν ἀοιδίμων ἀνδρῶν προαιρετικῇ τῇ Διδασκαλίᾳ τῦ Εὐαγγελικῦ κηρύγματος, πλείσα ὅσα ἐσαγήνευσαν

καὶ ἓς ὧν ἑκάτερος, προαιρετικῶς πολλὲς ἀπεγέννησαν, καὶ πολλῶν σωτηρίας γεγόνασι πρόξενοι. ἐπιδέγεμὴν τῶν αἰτιατῶν τὸ ἔμπαλιν ἔχει, ἑνὸς ὄντος αἰτιατῦ, ἀνάγκη προσεχῶς ἓν αἴτιον εἶναι, εἰ μὴ, ἄρα δι' ἀδένειαν καὶ ἀτονίαν τῦ αἰτίε, μεθ' ἑαυτῦ συναίτιον εἶναι ἄλλο προσλήψεται. ἔτω γὰρ ἐκ τῆς ἐνεργείας τῶν πραγμάτων, ἀληθὲς εἶναι τὸ λεχθὲν ἡμῖν καταφαίνεται. ἐπεὶ ἓν ἔτω τὰ πράγματα ἔχει, ὡς ὁ λόγος ὑπέγραψεν, ὅτι μιᾶς αἰτίας χεδὸν πολλὰ τὰ αἰτιατά. ἑνός γε μὴν αἰτιατῦ ἀνάγκη ἓν εἶναι τὸ προσεχὲς αἴτιον. εἰ μὴ ἄρα ἀδυναμίας καὶ ἀτονίας πρόσληψις γέννηται, ὡς ἔφαμεν. τῦτο γὰρ καὶ τοῖς ἀκρέμοσι τῶν σοφῶν δοκεῖ. τέτων ἓν ἡμεῖς ἐκ τῆς ἐνεργείας τῶν πραγμάτων ἀνθ' ὁμολογεμένων, σκοπεῖν ἐσὶ τὸ παρ' αὐτῶν δογματιζόμενον. τὶ γὰρ καὶ φασὶ, τὸ Πνεῦμα τὸ Ἅγιον ἐκ Πατρὸς καὶ Υἱῦ τὴν πρόοδον ἔχειν; εἰ μὲν ἓν τὸ Πνεῦμα, πολλάτε ἓεν καὶ διάφορα πράγματα, καὶ διὰ τῦτο σωρὸς τὶς αἰτιατῶν, καὶ πολλὰ τῇ ὑποσάσει, καὶ μὴ ἓν τῷ ἀριθμῷ ὂν, παρ' αὐτῦ ἔπετο ὥσπερ οἱ μῦθοι πλάτλσι τὲς γίγαντας, καὶ ἦν ἂν ἴσως αὐτοῖς ἐκφυγεῖν τὸ πάντη δύσφημον, ἢ καὶ τὸ ἀδύνατον, δύο αἴτια λέγοντες τῆς προβολῆς τῦ Πνεύματος. ἐπειδὴ δὲ ἐδεὶς ἔτω φρενῶν ἐξέσηκεν ὧν τῦ καθημᾶς τῶν Χρισιανῶν δογματος ἀνὰ τὴν οἰκεμένην, ὃς τὸ Θεῖον καὶ Παναγιον Πνεῦμα ἓν ὂν τῇ ὑποσάσει, καὶ ἓν ὂν τῇ Ἁγίᾳ Τριάδι, ἐχ ὑπείληφε, μή τοιγε οἱ ἐκ τῦ Πατρὸς καὶ τῦ Υἱῦ τὸ Πνεῦμα ἐκπορεύεθαι δογματίζοντες. φανερὸν ἔτι ἡ ἀτονίαν τῦ Πατρὸς καὶ ἀδένειαν πρὸς τὴν ἐκπόρευσιν τῦ Πνεύματος, καταψηφίζονται. καὶ διὰ τῦτο δεδεημένε πρὸς τὴν προβολὴν συλλήπλορα, ἢ ἐκφυγόντες τὸ ἔτως ἀριδήλως βλάσφημον καὶ ἀπωλείας πρόξενον, τῇ τῶν πραγμάτων δὲ μᾶλλον ἀνάγκη καταχέμενοι, κἂν μὴ βέλονται, τῦ Πνεύματος ἓνὸς αἰτιατῦ ὄντος ἐν τῇ ζωαρχικῇ καὶ ὑπερσίῳ Τριάδι, πάντως καὶ ἓν αἴτιον τὸν Πατέρα δώσσι. τῦτο γὰρ ἡμᾶς ὁμολογεῖν ἐξάπαντος ἡ τῶν πραγμάτων ακολεθία καταναγκάζει.

ΚΕΦΑΛΑΙΟΝ ε'.

Ἔτι, εἰ ἐκπορεύεται τῦ Υἱῦ τὸ Πνεῦμα, ὥσπερ ἐκ τῦ Πατρὸς, καθώς τινες φασὶν, διαπυθανομένων ἡμῶν αὐτὲς, ἀποκρινάθωσαν πότερον αὐτοῖς δοκεῖ, ὁ Υἱὸς πρὸς αἴτιον ἔχει τὴν ἀναφοράν, ἢ ὄ; πάντως τῷ προδήλῳ συνθήσονται, ὅτι πρὸς τὸν Θεὸν καὶ Πατέρα τὴν ἀναφορὰν καὶ χέσιν ἔχει, ἐξ ἓ καὶ ἀχρόνως καὶ ἀπαθῶς πρὸ πάντων τῶν αἰώνων γεννητῶς ἐξ αὐτῦ ἐξέλαμψεν. τὶ δὲ ὁ Πατὴρ καθὸ γεννήτωρ καὶ αὐτὸς πρός τινα ἔχει τὴν ἀναφορὰν καὶ τὴν χέσιν, ἢ ὄ; πάντως ἐρῦσι πρὸς τὸν Υἱόν. ἐ γὰρ τοσῦτον ἀνεθητότεροι τῶν μανομένων καθεζήκασιν, ἵνα καὶ τῇ ἐνεργείᾳ τῶν πραγμάτων ἀπομάχωνται. τὶ δ' αὖ ὁ Πατὴρ αἴτιος ὢν καὶ τῦ Πνεύματος καθὸ γεννήτωρ καὶ πρὸς τὸ Πνεῦμα τὴν χέσιν καὶ τὴν ἀναφορὰν ἔχει, ἢ κατ' ἄλλην τινὰ τῆς κατὰ γέννησιν προόδε; φανερὸν ὅτι κατ' ἄλλην τινά. ἵνα μὴ καθ' ὃ γεννήτωρ, καὶ πρὸς τὸ Πνεῦμα τὴν χέσιν καὶ τὴν ἀναφορὰν ἔχον, συμβῇ διὰ τὴν ταυτότητα τῆς χέσεως τῦ γεννήτορος, καὶ τὸ Πνεῦμα γέννημάτε εἶναι ὡς τὸν Υἱόν. καὶ διὰ τῦτο, ἢ συγχεῖθαι τὰς ὑποσάσεις, ἢ ἀδελφὸν τῦ Υἱῦ τὸ Πνεῦμα ἀναπλάτλεθαι. ἐκ ἔν διὰ ταῦτα κατ' ἄλλην τινὰ πρόοδον. τὶς δὲ ἔσιν αὕτη; πρόδηλον ὅτι ἡ ἐκπόρευσις, ἐξ ἧς χέσεως, καὶ τὸ Πνεῦμα ἐκπορευτὸν κέκληται. καὶ ὁ τέτε αἴτιος καθὸ τέτε αἴτιος, προβολεὺς εἴρηται. εἰ ἓν τῦτο ἀληθὲς, ὥσπερ καὶ ἀποδέδεικται, ἐρωτητέον αὖθις αὐτὲς, εἰ τὸ Πνεῦμα ἐκπορεύεται τῦ Υἱῦ, ὥσπερ ἐκ τῦ Πατρὸς, πότερον ἔχει τινα χέσιν ὁ Υἱὸς πρὸς τὸ Πνεῦμα προβαλλόμενος αὐτὸ, καθὼς καὶ ὁ Πατὴρ, ἢ ὄ; εἰμὲν ἐκ ἔχει, πρόδηλον, ὅτι ἐκ ἐξ αὐτῦ. τὸ γὰρ ἄχετον δῆλον ὅτι ἀκοινώνητον κατ' ἐκεῖνο, καὶ ἀλλότριον. εἰ δὲ ἐρῦσιν ἔχειν, κἂν μὴ βέλωνται, ἢ καθὸ Υἱὸς ἐσίτε καὶ λέγεται, ἢ καθὸ καὶ Πατὴρ πρὸς τὸ Πνεῦμα. ἐ καθὸ Πατὴρ ἵνα μὴ Υἱὸς ἀναφανῇ τὸ Πνεῦμα, ἀλλὰ καθὸ προβολεύς. παρὰ ταῦτα γὰρ ἐκ ἐγχωρεῖ τὸν Υἱὸν ἔχειν πρὸς τὸ Πνεῦμα χέσιν τῦ λέγεθαι, εἴπερ ἐξ αὐτῦ τὴν πρόοδον ἔχοι. ἀλλ' εἰ μὲν καθὸ Υἱὸς, υἱωνὸς τὸ Πνεῦμα ἀναπλαθήσεται τάχα, καὶ ἔσαι τῦτο πολλῦ γέλωτος, καὶ μεγίσης βλασφημίας ἀνάμεσον. ἐκ ἄρα καθὸ Υἱός. λείπεται δὲ κατ' ἄλλην τινὰ χέσιν, ἡγεῖν τὴν ἐκπόρευσιν, ἄλλην γὰρ πλὴν ταύτης ἐκ ἔσιν εὑρεῖν. εἰδὲ καὶ αὐτὸς προβολεὺς τῦ Πνεύματος αἴτιος, δύο ἐνταῦθα σκόπει τὰ ἄτοπα. ἤτοι γὰρ ἀναιτίως ἔχει τὸ εἶναι προβολεὺς τῦ Πνεύματος ὁ Υἱὸς, ἢ ἐκ ἀναιτίως ἀλλ' ἐκ τῦ Πατρός. ἀλλ' εἰμὲν ἀναιτίως, ἔσονται πάντως ἐν τῇ ὑπερφυῇ καὶ ὑπερσίῳ Τριάδι δύο ἀρχικαὶ, καὶ ἄναρχοι κατ' αἰτίαν ὑποσάσεις. καὶ διὰ τῦτο δύο ἀρχαὶ καὶ αἴτια, καὶ ἐντεῦθεν τὸ σεβαζόμενον ἡμῖν τῆς μοναρχίας κράτος ἀπόλυται, καὶ ἡ πολυπληθεία τῶν σεβομένων παρ' ἕλλησι θεῶν συνεισφέρεται. ἀλλὰ καὶ τὸ Πνεῦμα ἔσαι μόνον ἐξ ἁπάντων πολύαρχον ἀρχὴν ἔχον, ὅπερ ἐσὶ καὶ τῦτο πλείσης ἀσεβείας ἀνάμεσον. εἰ δὲ ἐκ ἀναιτίως ἔχεν ὁ Υἱὸς τὸ εἶναι προβολεὺς τῦ Πνεύματος, πάντως ἐκ τῦ Πατρὸς τῦτο ἔχεν, ἐπεὶ καὶ τὸ εἶναι Υἱὸς, καὶ πάντα ὅσα ἔχει διὰ τὸν Πατέρα ἔχει. εἰ δὲ ἐκ τῦ Πατρὸς τῦτο ἔχει, τὶς ἡ ἀποκλήρωσις καὶ καινοτομία τῆς Υἱϊκῆς ὑπάρξεως, ἵνα μὴ καθὸ Υἱὸς Υἱὸν ἀπογεννᾶ, καὶ Πατὴρ ἀναφαίνηται, εἴπερ ὁ Πατὴρ καθὸ προβολεὺς τὸν Υἱὸν αὖθις προβολέα τῦ Πνεύματος ἀποδείκνυσιν; εἰ γὰρ ἐκ τῦ Πατρὸς τὸ ἀκαινοτόμητον ἔχει ἡ τῦ Υἱῦ γέννησις, ἀλλὰ μὴν καὶ ἡ τῦ Πνεύματος ἐκπόρευσις· ὡς περ δὲ προβολεὺς ὁ Υἱὸς ἀναδείκνυται, ἀνάγκη πᾶσα, ἵνα μὴ καινοτομία περὶ τὴν Θείαν Φύσιν εὑρεθῇ, γεννῆσαι Υἱόν. καὶ ἔσαι υἱωνὸς ἐντεῦθεν ἀναπλατλόμενος ἔπερ καὶ προβολεὺς τῦ Πνεύματος καθὸ ἐκ Πατρὸς, ἀναδείκνυται. εἰ δὲ ταῦτα, ἀσεβείας βόθυνος ὁ μέγας καθίσαται. ἐκ ἄρα τὸ Πνεῦμα τῦ Υἱῦ ἐκπορεύεται, ὥσπερ ἐκ τῦ Πατρός.

ΚΕΦΑΛΑΙΟΝ ζ'.

Ἔτι, εἰ πάντες μὲν, οἷς τὸ κρίνειν ὀρθῶς πρόσεσι, καὶ ἡ τῶν ὄντων γνῶσις ποσῶς πάρεσι, δύο τὰς ἀνωτάτω διαφορὰς τῶν ὄντων διαγινώσκεσι, καθὰ φησὶν ὁ Θεολογικώτατος Γρηγόριος, „δεσποτείαν φημὶ καὶ δελείαν, ἐχ ἃς παρ' ἡμῖν „τυραννὶς ἔτεμε, ἀλλ' ἃς ἡ Φύσις διώρισεν, εἰ τῷ „γε Φίλον ἔτω καλεῖν. τὸ γὰρ πρῶτον, καὶ ὑπὲρ τὴν Φύσιν. τέτων τοίνυν ἡ μὲν ποιητικήτε ἐσί, καὶ ἀρχικὴ καὶ ἀκίνητος, ἡ δὲ πεποιημένη καὶ ὑπὸ χεῖρα καὶ μεταπίπλεσα καλεῖται δὲ ἡ μὲν Θεός. ἡ δὲ μεθ' ἡμῶν ἐσι, καὶ καλεῖται κλίσις. κἂν ἄλλα ἄλλων ὑπερέχει κατ' ἀναλογίαν τῆς πρὸς Θεὸν ἐγγύτητος. τέτων τοίνυν κατὰ τὸ ἀκόλεθον, ἡ μέν ἐσιν ἀπερίγραπλος, καὶ ἀκατάληπλος, καὶ ἀναλλοίωτος, καὶ ὅσα πρέπει Θείᾳ καὶ ὑπερσίῳ καὶ ἀκλίτῳ Φύσει. ἡ δὲ ἐσι περιγραπλὴ, καὶ καταληπλὴ καὶ ἀλλοιωτὴ ἀρμόζει κλιτῇ Φύσει. καὶ ἡμὲν, ἐφ' ὧν εὕρηται κατηγορεμένη ὑποσάσεων ἦγεν ἡ κλιτὴ Φύσις, πολλὴν μὲν τὴν διαφορὰν ἔχει, ἐλαχίσην δὲ τὴν κοινωνίαν. οἷον, Φέρε εἰπεῖν, ὡς ἐπὶ ἀνθρώπε. ἡ γὰρ ἀνθρωπίνη Φύσις κατὰ Πέτρε καὶ Παύλε ἢ τῶν λοιπῶν κατηγορεμένη, ὀλίγην τὴν κοινωνίαν παρέχει, κατὰ τὸν τῆς ἐσίας λόγον, καὶ ὅσα ταύτη ἀναγκαίως παρέπεται. κατὰ δὲ τὰ λοιπὰ πάντα, πλεῖζον ἀλλήλων διεζήκασιν, ὅτε Πέτρος καὶ Παῦλος, καὶ οἱ παραπλήσιοι ἄνθρωποι. κατὰ γὰρ κίνησιν, καὶ βέλησιν, καὶ προαίρεσιν, καὶ ἐνέργειαν, καὶ χρόνον, καὶ τόπον, καὶ πλήσοις ὅσοις ἰδιώμασιν. ἀλλαμὴν καὶ τὴν εἰς ἄλληλα περιχώρησιν, ἀδύνατον, ἀσύγχυτον ἔχειν, ἔτιγεμὴν καὶ τὴν ἐξ ἀλλήλων διάσασιν μάλα κέκτηται, ὃ καὶ μᾶλλον τὸν πληθυσμὸν πέφυκεν ἐμποιεῖν. διάτοι τῦτο καὶ ἀριθμῦντες, τρεῖς λέγομεν ἀνθρώπες, καὶ τρεῖς ἵππες, ἃ καὶ μᾶλλον ἐν πλήθει χαρακτηρίζεθαι εἴωθεν, ἢ ἐν τῷ ἑνὶ, διὰ τὸ πλείσην ἔχειν διαφορὰν, ἥτλονα δὲ τὴν κοινωνίαν, καὶ τὴν ἕνωσιν. ἡ δὲ, ἐφ' ὧν ἂν κατηγορεῖται, ἦγεν ἡ Θεία καὶ Μακαρία Φύσις, τὸ ἔμπαλιν ἔχει. οἷον, ἐπὶ τῦ Πατρὸς καὶ τῦ Υἱῦ καὶ τῦ Ἁγίε Πνεύματος, πλήσην μὲν τὴν κοινωνίαν, καὶ χεδὸν εἰπεῖν ἐν πᾶσι, πλὴν μιᾶς μόνης τῆς τῶν ὑποσατικῶν ἰδιοτήτων διαφορᾶς εὑρισκομένης, ταῦτα δὲ ἐσιν ἀγέννητον, γεννητὸν, ἐκπορευτόν. τὰ δ' ἄλλα πάντα κοινά. ἐξαιρέτως δὲ τὴν εἰς ἄλληλα περιχώρησιν ἔχεσιν ἀσυγχύτως, ἐχ ὥτε συναλείφεθαι, ἀλλ' ὥτε ἔχεθαι ἀλλήλων κατὰ τὸν τῦ Κυρίε λόγον. ἐγὼ ἐν τῷ Πατρὶ, καὶ ὁ Πατὴρ ἐν ἐμοί. διάτοι τῦτο, καὶ τὸν πληθυσμὸν ἐκπέφυγε, καὶ ἐς Θεός ἐσιν ὁ Πατὴρ καὶ ὁ Υἱὸς καὶ τὸ Πνεῦμα τὸ Ἅγιον, κἂν τρίας ταῖς ἰδιότησι γνωρίζηται καὶ πισεύηται. τριὰς δὲ πάλιν γνωρίζεται καὶ πισεύεται, κατὰ τὴν τῶν ἐνυποσάτων ἰδιοτήτων διαφοράν. ἐν ταύταις γὰρ καὶ μόναις ἡ τριὰς, τριὰς εἶναι πισεύεται, καὶ προσκυνεῖται, καὶ χαρακτηρίζεται. τέτων ἓν ἡμῖν ὧδε προωμολογημένων, σκεπτέον τὸ παράτισι δογματιζόμενον. εἰ ἓν τὸ Πνεῦμα κατ' ἐκεῖνος ἐκπορεύεται τῦ Υἱῦ, καθὼς ἐκ τῦ Πατρὸς, πάντως καὶ κοινὴ ἔσα ἡ προβολὴ Πατρὸς καὶ Υἱῦ. εἰ δὲ τῦτο, ἀνάγκη τὰς ἰδιότητας τῶν ὑπο-

ὑποσάσεων κοινωνεῖσθαι· καὶ πῶς ἂν ἔτι ἓν ἰδιότητες κινέμεναί τε καὶ μεταπίπτουσαι, ἢ πῶς ἂν ἡ τριὰς, τριὰς εἶναι πιστευθῇ, τῶν ἰδιοτήτων μεταπιπτουσῶν καὶ συγχεομένων; ἐν γὰρ ταῖς ἰδιότησι ταύταις καὶ μόναις ἡ τριὰς, τριὰς γνωρίζεται, ἢ πιστεύεται, ἢ προσκυνεῖται, ἢ χαρακληρίζεται· τοιγαρῆν καὶ προβολέα ὁμολογοῦντες τὸν Θεὸν, καὶ Πατέρα τῷ Πνεύματος, τὸ μὲν γὰρ Υἱῷ γεννήτωρ ἐστι, τῷ δὲ Πνεύματος προβολεύς· τοῦτο γὰρ ἐκ τῶν Ἱερῶν Λογίων δεδιδάγμεθα, ἃ κατὰ τὸν τῆς Φύσεως αὐτῷ λόγον τῆς κοινῆς ἐπὶ τῶν Θεαρχικῶν τριῶν ὑποσάσεων, κατηγορέμενον ἐπινοοῦντες εὐσεβοῦμεν· ἢ γὰρ ἂν καὶ ἐπὶ τῶν λοιπῶν δύο Θεαρχικῶν ὑποσάσεων ἰσομοίρως κατηγορηθήσονται· μᾶλλον δὲ εἰπεῖν κατὰ τὸν τῆς ὑποσάσεως λόγον, καθ' ὃν τῶν δύο Θεαρχικῶν ὑποσάσεων, φημὶ δὴ τῷ Πνεύματος ἢ τῷ Υἱῷ διακέκριται καὶ δήρηται ἀδιαιρέτως· εἰ δὲ τοῦτο ἀληθὲς, ὥσπερ δὴ καὶ ἀληθὲς, τῆς προβολῆς Πατρὸς ἢ Υἱῷ κοινῶς διδομένης, φανερὸν ὅτι τὰ προλεχθέντα βλάσφημα ἔψεται· καὶ ὁ μόνον τετὶ, ἀλλὰ καὶ αἱ κοιναὶ περὶ Θεοῦ ἔννοιαι, καὶ ὁ Φυσικὸς λόγος ὁ διαγορεύσας τὴν ἄκτιστον καὶ Θείαν Φύσιν ἔμπαλιν ἔχειν ἐφ' ὧν ὑποσάσεων κατηγορεῖται, τῆς κτιστῆς ἄλλως ἐχέσης, διαπεσεῖται, συγχύσεως ἐπὶ Φυσικῶν Θεαρχικῶν ὑποσάσεων ἀναγομένης κατὰ τὸν αὐτὸν λῆρον καὶ μῦθον· εἰ δὲ τοσοῦτον ἐσμὲν ἀσεβείας ὁ λόγος αὐτὸς ἐξήτισεν, καὶ γὰρ ἑνὸς ἀτόπε δοθέντος μυρία ἕψεται, σοφός τις ἔφη, φανερὸν ὅτι τὸ Πνεῦμα ἐκ τῷ Θεῷ καὶ Πατρὸς πρόεισι μόνον ἐκπορευτῶς, καθὼς καὶ ὁ Υἱὸς γεννητῶς.

ΚΕΦΑΛΑΙΟΝ ε'.

Ἔτι, εἰ τὸ Πνεῦμα ἐκπορεύεται τῷ Υἱῷ, καθὼς καὶ ἐκ τῷ Πατρὸς, πότερον, τὴν αὐτῷ ἐκπόρευσιν, ἢ διάφορον· ἀλλ' εἰ μὲν διάφορον, ἢ κρεῖττον ἔσαι τὸ Πνεῦμα, ἢ χεῖρον, ἢ ἴσον· καὶ εἰ μὲν κρεῖττον, πάντως καὶ ὁ Υἱὸς κρείττων ἔσαι τῷ Πατρὸς· καὶ γὰρ ὧν κατὰ Φύσιν προβολεὺς κρειττόνων, πάντως καὶ αὐτὰ κρείττονα, εἰ δὲ χεῖρον, ἔσαι ἃ μόνον τὸ Πνεῦμα ἑαυτῷ χεῖρον καὶ κρεῖττον, ἐπειδὴ κατὰ διάφορον ἐκπορευσιν τὴν ὕπαρξιν ἔχει, ἀλλὰ καὶ ὁ Υἱὸς, οὐχ ὁμοούσιος τῷ Θεῷ καὶ Πατρὶ, καὶ γὰρ ὧν αἱ κατὰ Φύσιν προβολαὶ τὸ χεῖρον ἔχουσι, τούτων καὶ αἱ Φύσεις χείρονες· εἰ δὲ ἴση, ἡ αὐτὴ ἐστι τῆς πρώτης, εἰδὲ καὶ ἡ αὐτὴ, πότερον συντελεῖ ὕπαρξιν Πνεύματος, ἢ δὲ· εἰμὲν ἃ συντελεῖ, μάτην· εἰδὲν δὲ ἐν Θεῷ μάτην· εἰδὲ συντελεῖ, ἢ ἀτελὴς ἐστι τῷ Πατρὸς ἡ προβολὴ, καὶ τοῦτο χάριν καὶ αὐτὴ συλλαμβάνεται, εἰδὲ τελεία ἡ πρώτη τῷ Πνεύματος προβολὴ, πῶς γὰρ ἔ; καὶ γὰρ ἐπαρκεῖ εἰς τελείαν ὕπαρξιν τῷ Πνεύματι, περιτλὴ πάλιν ἡ τῷ Υἱῷ· ἐγάρτι δώσουσι τῶν περὶ τὸ Πνεῦμα συντελέντων τὴν ἐκ τῷ Υἱῷ ἐκπόρευσιν, διὰ τὸ ταύτην εἶναι τὴν πρώτην, καὶ τὸ ἀσύνθετον τῆς ὑπάρξεως τῷ Πνεύματος.

ΚΕΦΑΛΑΙΟΝ ϛ'.

Ἔτι, εἰ πᾶν, ὅπερ ἂν ἐπὶ τῆς ζωαρχικῆς καὶ παντουργῷ Τριάδος κατηγορεῖται, ἢ κοινῶς ἐπὶ τῶν τριῶν ὑποσάσεων εὕρηται λεγόμενον, δηλονότι παντοιτρόπως καὶ συνωνύμως, καὶ ἃ διαφόρως, ἢ ἰδίως ἐπὶ μιᾶς χωρὶς τῶν ἐπὶ δύο ὑποσάσεων, καὶ ταυτοτρόπως λεγομένων, ὡς τὸ αἰτιατὸν, καὶ τὰ ὅμοια· ἡ δὲ προβολὴ τῷ Πνεύματος ἡ ἐκ τῷ Πατρὸς καὶ τῷ Υἱῷ ταυτοτρόπως ἔσατε καὶ λεγομένη, ἔτε κοινὴ τῶν τριῶν ἐστι, ἔτε μιᾶς τινὸς μόνου, ὡς οἱ τὸ Πνεῦμα ἐκ τῷ Υἱῷ ἐκπορεύεσθαι διατεινόμενοι λέγουσιν· ἐκ ἄρα ὅλως ἐν τῇ ζωαρχικῇ καὶ παντουργικῇ καὶ τελείᾳ Τριάδι, ἡ τῷ Πνεύματος προβολὴ πρόσεσιν· ὅπερ ὡς πάντη δύσφημον, καὶ τῆς τῶν Χριστιανῶν μερίδος ἀλλότριον, πορρωτάτω τὴν κατὰ τῷ Ἁγίε Πνεύματος βλασφημίαν ἢ καινοφωνίαν ἀποσειόμεθα.

ΚΕΦΑΛΑΙΟΝ ζ'.

Ἔτι, εἰ πᾶσα εἰκὼν ἀμυδροτέραν ἔχει τὴν ἐμφέρειαν, ἔτινος ἂν καὶ λέγοιτο εἶναι εἰκὼν, χωρὶς δηλονότι τῆς Φυσικῆς λεγομένης· ἔσι δὲ ὁ ἄνθρωπος, εἰκὼν Θεῷ, ὡς κατ' εἰκόνα Θεῷ Δημιουργηθεὶς, ἔτος δὲ διπλῶς χρηματίζων, διπλῆν πρὸς τὴν ζωαρχικὴν Τριάδα τὴν ἐξ ἀναλόγε ὁμοιότητα φέρει· καθ' ἓν μὲν ὅτι ὁ πρῶτος ἄνθρωπος, ἀγέννητος, πλάσμα γὰρ· ὁ δὲ Σὴθ, γεννητὸς, γέννημα γὰρ· ἡ δὲ Εὔα, ἃ δέτερον τούτων, ἢ γὰρ τμῆμα· καθ' ἕτερον δὲ, ὅτι ὁ νῶς ἡμῶν ἀπαθῶς καὶ ἀρεύσως γεννήτωρ ἐστὶ τῷ ἐν ἡμῖν λόγε· ὁ δὲ λόγος,

λόγος, τῷ νοὸς γέννημα· καὶ τὸ Πνεῦμα, ἕτερον τῷτε νοὸς καὶ τῷ λέγε ὂν, ἐν ἡμῖν συν τῷ λόγῳ πρόεισι· εἰδὲ ἐπ' ἀνθρώπε θεωρέμενον τὸ κατ' εἰκόνα Θεῷ τὴν τῶν ὑποσάσεων ἰδιότητα, διαφοράν, καθ' ἣν πρὸς τὴν Ἁγίαν Τριάδα τὴν ἐξ ἀναλόγε ἀποσώζει ὁμοίωσιν, ἀκοινώνητον ἔχει πρὸς τὰς λοιπὰς ὑποσάσεις τὰς συμπαραλειφθείσας εἰς τὴν τῷ κατ' εἰκόνα δείλωσιν τῆς ἐμφερείας, εἴτεν ὁμοιώσεως· εἰδὲ γὰρ ἂν ἔχοι τις πλάσας ποτὲ τῷ λόγῳ ἰδίωμα τῷ πρώτε ἀνθρώπε, ἵνα καὶ προσάψῃ τῷ Σὴθ ὡς κοινὸν· ἔτε μὴν τῆς Εὔας πρὸς ἑκατέρας, τό,τε γεννητὸν καὶ τὸ γέννημα· ἔτε δ' αὖ πάλιν τῷ γεννήματος τὸ γεννητὸν τῷ Ἀδὰμ, ἢ τῇ Εὔᾳ· ὡσαύτως δὲ καὶ ἐπὶ τὰ ἐντὸς σκοπῶν, τὸ αὐτὸ ἂν ἴδοις· τὸ γὰρ τῷ νοὸς ἰδίωμα, ὅ τῷτον αὐτὸν γεννήτορα συνισᾷ τῷ λόγε, ἐκ ἂν εὕρῃς ἐπὶ τῷ λόγε· ἔτε μὴν τῷ λόγε ὡς γεννήματος ἐπὶ τῷ νοὸς, ἔτε τῷ Πνεύματος ὡς Πνεύματος· εἰ δὲ ἐπὶ τῶν εἰκονικῶν ἐξαναλόγως ἀμυδράντινα τὴν ἐμφέρειαν, ἢ τὴν ὁμοίωσιν ἐχόντων ἀκοινώνητος ἡ τῶν ἰδιωμάτων καὶ ἰδιοτήτων διαφορὰ εὕρηται, πολλῷ ἂν μᾶλλον ἐπὶ τῆς ὑπὲρ νῶν καὶ ἔννοιαν ὄσης, καὶ ἀναλλοιότε καὶ ἀμετακινήτε πάντη Τριάδος εὑροι ἄντις τὴν τῶν ὑποσατικῶν ἰδιοτήτων ὕπαρξιν, ἀκοινώνητον· μᾶλλον δὲ ἀπείρῳ λόγῳ ἐν τῇ ῥευσῇ καὶ κτισῇ Φύσει καὶ τρεπτῇ τὸ μὴ κινεῖσθαι· καὶ γὰρ εἰ τὸ ἧτλον δοκεῖν ὑπάρχει, καὶ ὁ μᾶλλον δοκεῖ ὑπάρχειν, ὑπάρξει· δοκεῖ δὲ πολὺ ἧτλον, μᾶλλον δὲ ἀπείρῳ λόγῳ ἐν τῇ ῥευσῇ καὶ κτισῇ Φύσει καὶ τρεπτῇ, τὸ μὴ κινεῖσθαι καὶ μεταπίπτειν τὰς ἰδιότητας τῶν ὑποσάσεων καθ' ἣν ἐμφέρειαν, ἤγεν τὴν ὁμοίωσιν ἐξαναλόγε τῷ κατ' εἰκόνα Φέρει, πολλῷ ἂν μᾶλλον ἐν τῇ ἀτρέπτῳ, καὶ ἀναλλοιώτῳ καὶ ἀεὶ ὡσαύτως ἐχέσῃ Φύσει, τῷτο ὑπάρξει· εἰδὲ τῷτο ἀληθὲς, ὡς δέδεικται, ἐκ ἄρα ἐστὶν ἡ τῷ Πνεύματος προβολὴ κοινὴ Πατρὸς καὶ Υἱῷ, ὡς οἱ τῷτο δυσφήμως, καὶ τὰ μάλιστα ἀσεβοῦντες δογματίζουσιν.

ΚΕΦΑΛΑΙΟΝ ιά'.

Ἔτι, εἰ πᾶσι μὲν, οἷς τὸ κρίνειν ἐπισημόνως καὶ ὀρθῶς πρόσεσι, δῆλον καθέσηκεν, ὅτι τῶν ἰδιωμάτων, τὰ μὲν Φύσει εἶναι λέγεται, οἷον τῷ ἀνθρώπε τὸ γελασικὸν· τὰ δὲ, ὑποσάσεων· οἷον, τῷ Ἀδὰμ, τὸ πλάσμα· ἢ τῆς Εὔας, τὸ τμῆμα· καὶ ἄλλων ἄλλα· καὶ τὰ μὲν Φύσεως ἰδιώματα, οἱ περὶ ταῦτα δεινοὶ, τετραχῶς ἀφορίζεσι· τὰ μὲν, μόνῳ καὶ παντὶ καὶ ἀεὶ ἐνυπάρχειν· οἷον, τὸ γελαστικὸν, τῷ ἀνθρώπῳ· τὰ δὲ μόνῳ μὲν, ἢ ποτὲ, ἃ παντὶ δὲ, ὡς ἀνθρώπῳ τὸ γεωμετρεῖν· τὰ δὲ παντὶ μὲν καὶ ἀεὶ, ἃ μόνῳ δὲ, ὡς ἀνθρώπῳ τὸ δίπεν· τὰ δὲ μόνῳ καὶ παντὶ, ἐκ ἀεὶ δὲ· ὡς ἀνθρώπῳ τὸ ἐν γήρᾳ πολιᾶσθαι· ὡσαύτως δὲ καὶ τὰ ὑποσατικὰ τετραχῶς ἀφορίζονται· τὰ μὲν μόνῳ καὶ ποτὲ ἐνυπάρχειν· τὰ δὲ μόνῳ καὶ ἀεὶ· τὰ δὲ ποτὲ μὲν, ἃ μόνῳ δὲ· τὰ δὲ ἀεὶ μὲν, ἃ μόνῳ δὲ· σκεπτέον δὲ κατὰ τὸν τῆς ἀφύλε ταύτης διαιρέσεως λόγον τίσι τῶν ἰδιωμάτων τῶντε Φυσικῶν, τῶντε ὑποσατικῶν, κατὰ τὸ ἐνιαῖον ἢ μοναδικὸν τῆς Φύσεως τῷ ἑνὸς Θεῷ ἢ Κυρίε, ἢ τὸ τρισυπόσατον τῶν Θεαρχικῶν ὑποσάσεων, φημὶ δὴ Πατρὸς, καὶ Υἱῷ, καὶ Ἁγίε Πνεύματος, ὡς θεμιτὸν ἐφαρμόζει· τὰ μὲν ἓν τρία σημαινόμενα τῶν τῆς Φύσεως ἰδιωμάτων, ὧν ἡ διαίρεσις ὕστερον παρέθηκεν, ταῦτα ἐπὶ τῶν Θεαρχικῶν ὑποσάσεων, ὡς μιᾶς Θεότητος, ἤτοι ἐσίας καὶ Φύσεως ἐν αὐταῖς θεωρεμένων καὶ ἑνὸς ὄντος Θεῷ, καὶ Κυρίε τῶν τριῶν ὑποσάσεων κατὰ τὸ ἐνιαῖον τῆς Φύσεως ἐκ ἄνποτε λεχθείη· τὸ μὲν γὰρ πάσῃ Θεαρχικῇ Ὑποσάσει κατὰ τὸν τῆς Θείας Φύσεως ἰδιωμάτων λόγον ποτὲ λέγεσθαι ἐν αὐταῖς ὑπάρχειν, πάντως ἀθέμιτον, καὶ ἀπαίσιον· ἐδὲν γὰρ ἐν ταῖς Θεαρχικαῖς ὑποσάσεσι ἔτε κατὰ τὸν τῆς μιᾶς Θεότητος λόγον ἐν αὐταῖς θεωρέμενον, ἔτε κατὰ τῶν ἰδιωμάτων εὑρηταί ποτὲ λεγόμενον, διὰ τὸ πολλὰ ἔναι τὰ ἄτοπα· ἢ γὰρ ἀτελῶς ἡ Θεία Φύσις εὑρεθήσεται τῶν Θεαρχικῶν ὑποσάσεων κατηγορεμένων, ἢ καὶ αὐτὰς τὰς Θεαρχικὰς ὑποσάσεις κατὰ τὸν οἰκεῖον λόγον ἀτελεῖς, ἢ ἐπίκτητον, ἢ ἐπισκεύασον ἐν τῇ ὑπερσοΐ καὶ ὑπερφυεῖ Τριάδι ὀφθείσεται· καὶ διὰ τῷτο γινόμενον καὶ ἀπογινόμενον, ὅπερ ἐσὶ πάντη ἀσεβές· ἔτε κατὰ μιᾶς τῶν Θεαρχικῶν ὑποσάσεων μόνα τὰ τῆς Θείας Φύσεως ἰδιώματα κατηγορηθήσεται, διὰ τὸ τὰ Φύσεως ἰδιώματα κοινὰ ἔναι τῶν Θεαρχικῶν τριῶν ὑποσάσεων καὶ ἀεὶ προσεῖναι, διὰ τὸ ἀναλλοίωτον καὶ ἄτρεπτον· ἔτε δ' αὖ πάλιν ἐσί τι τῶν ἰδιωμάτων τῆς Θείας Φύσεως, κατὰ πάσαις μὲν Θεαρχικαῖς ὑποσάσεσι κατηγορέμενον, ἃ μόνον δὲ διὰ τὸ μηδὲν τῶν ὄντων τὸ Θεῖον

Θεῖον ἐπικοινωνεῖν, καὶ ὁμοφυὲς καὶ ὁμοούσιον πρός τι λέγεσθαι, ἀλλ' ὑπερκεῖσθαι ἀσυγκρίτως πάσης γεννητῆς φύσεως ὡς ὑπερούσιον· λείπεται κατὰ τὸ Κυρίως ἴδιον, ὃ διαγράφετο τῷ μόνῳ καὶ παντὶ καὶ ἀεί· καὶ γὰρ μόνῳ τῷ ἑνὶ Θεῷ καὶ μοναρχίᾳ πρόσεστιν ὡς ἰδίωμα φύσεων ὂν, ἐν τῷ παντὶ ἀμερίστως καὶ ἀπεριγράπτως καὶ ὑπὲρ τόπων παρεῖναι, καὶ τὸ, ἐξουσίαν ἔχειν τῶν ἀφιέναι ἀνθρώποις τὰ ἁμαρτήματα, καὶ ἄλλα ὅσα πλεῖστα· ταῦτα δὲ πάσῃ Θεαρχικῇ ὑποστάσει ἁρμόζει· καὶ γὰρ ὁ Πατὴρ πανταχῇ πάρεστιν ἀμερίστως καὶ ἀπεριγράπτως ὡς Θεὸς τέλειος, καὶ ὁ Υἱὸς ὡσαύτως τέλειος ὢν Θεὸς, καὶ τὸ Πανάγιον Πνεῦμα καὶ αὐτὸ τέλειος ὢν Θεὸς, καὶ γὰρ ἐκ τριῶν τελείων ἓν τέλειον καὶ ὑπερτελὲς ἡμῖν τοῖς Χριστιανοῖς τὸ σεβαζόμενον, τὰ δεμὴν ὑποστατικὰ, τὰ μὲν δύο, τότε μιᾷ, μόνῃ, καὶ ποτὲ· καὶ τὸ, ἐ μιᾷ μόνῃ καὶ ποτὲ κατηγορεῖσθαι, ἐπὶ μιᾶς τῶν Θεαρχικῶν ὑποστάσεων, παντελῶς ἀλλότριον, καὶ ἀσεβὲς καθίσταται· λείπεται τῶν δύο τὸ ἕτερον, τότε μιᾷ μόνῃ, καὶ ἀεὶ τὰ ὑποστατικὰ ἰδιώματα καταγορεῖσθαι, ἢ ἐ μόνῃ, ἀεὶ δὲ· ἀλλὰ τὸ μὲν ἐ μόνῃ καὶ ἀεὶ τῶν ὑποστατικῶν ἰδιοτήτων κατηγορεῖσθαι ἐπὶ τῶν Θεαρχικῶν ὑποστάσεων, σύγχυσιν ἐμποιεῖ· τὲ ἰδίε γνωρίσματος τῆς ὑποστάσεως κατὰ τὸ ἐ μιᾷ, ἀλλὰ κοινὸν εἶναι τὸ ἰδίωμα· καὶ διὰ τᾶτο φεύγειν εἶναι αὐτὸ ὅπερ ἐσὶ διὰ τὸ καὶ ἐπ' ἄλλο μεταχωρεῖν καὶ μεταπίπτειν, καὶ διὰ τὸ μὴ τὸ ἴδιον τῆς ὑποστάσεως ἐκ τὲ κοινὲ χαρακτηρίζεσθαι· ἐπεὶ ἓν τὸ ἐ μιᾷ καὶ ἀεὶ Θεαρχικῇ ὑποστάσει κατηγορεῖσθαι τὰ ὑποστατικὰ ἰδιώματα ὁ λόγος ἔδειξε ψευδῆ, διὰ τὰ ἑπόμενα ἄτοπα καὶ ἀδύνατα, λείπεται κατὰ τὸ ἐν σημαινόμενον, ὃ ὑπεγράφετο τῇ μιᾷ καὶ μόνῃ, καὶ ἀεὶ προσεῖναι τὰ ὑποστατικὰ ἰδιώματα τῶν Θεαρχικῶν ὑποστάσεων, ὅπερ ἀληθὲς ἐσὶ, καὶ ταῖς κοιναῖς περὶ Θεᾶ ἐννοίαις ἁρμόττει, καὶ ταῖς τῶν Θεηγόρων Πατέρων διδασκαλίαις συνᾴδει· ἐπεὶ ἓν ταῦτα ὁ λόγος ἐξ ἀφύκτε διαιρέσεως παρέσησεν, ὡς θεμιτὸν καὶ ἀναγκαῖον πρόσεσιν ἐν ταῖς Θεαρχικαῖς ὑποστάσεσι τὰ ὑποστατικὰ ἰδιώματα, μιᾷ μόνῃ καὶ ἀεὶ προσεῖναι· δι' ὧν ἡ Τριὰς, Τριὰς εἶναι γνωρίζεται· καὶ παρ' ἡμῶν τῶν Χριστιανῶν πιστεύεται, καὶ προσκυνεῖται, φανερὸν ὅτι ὁ Πατὴρ, Πατὴρ μόνος ἐσὶ καὶ Κυρίως καὶ προβολεὺς μόνος καὶ Κυρίως· καὶ ὁ Υἱὸς, Υἱὸς μόνος καὶ Κυρίως· καὶ τὸ Πνεῦμα τὸ Ἅγιον, ἓν Πνεῦμα Ἅγιον ἐσὶ καὶ Κυρίως καὶ μόνον· εἰ δὲ τᾶτο φανερὸν ὡς ἀποδέδεικται, ἀσεβῶς καὶ ματαίως τινὲς τὸ Πανάγιον Πνεῦμα ἐκ τὲ Υἱᾶ ἐκπορεύεσθαι, καθὼς καὶ ἐκ τὲ Πατρὸς δογματίζουσιν.

ΚΕΦΑΛΑΙΟΝ ιβ'.

Ἔτι, εἰ ὁ Θεὸς, καὶ Πατὴρ καθὸ ἀρχὴ καὶ αἰτία τᾶ παντὸς ἐσὶ τε καὶ λέγεται· ἦγεν κατὰ τὸ ποιητικὸν αἴτιον, εἴτ' ἓν δημιεργικόν· εἰ ὁ Υἱὸς καὶ τὸ Πνεῦμα τὸ Ἅγιον κοινωνεῖ· καὶ γὰρ καὶ ὁ Υἱὸς καὶ τὸ Πνεῦμα ἀρχὴ ἐσὶ τᾶ παντὸς, εἴπερ ἓς Θεὸς, μετὰ Πατρὸς ὁ Υἱὸς καὶ τὸ Πνεῦμα τὸ Ἅγιον, καὶ ἔσι, καὶ Θεολογεῖται, καὶ καλῶς παρὰ τῶν εὐσεβῶν πιστεύεται· ἀλλὰ καὶ πᾶσα Θεϊκὴ ἐνέργεια μία τίς ἐσιν, ἐκ Πατρὸς μὲν ἀφορμωσα· δι' Υἱᾶ δὲ ἐνεργεμένη, καὶ ἐν τῷ Πνεύματι τῷ Ἁγίῳ τελειεμένη· ὅθεν καὶ πάντα τὰ ὄντα ἐκ Πατρὸς μὲν, δι' Υἱᾶ δὲ δεδημιέργηται, καὶ ἐν τῷ Πνεύματι τῷ Ἁγίῳ τὴν τελείωσιν ἔχει· καὶ γὰρ δεῖ νοεῖν πρῶτον μὲν τὴν προκαταρκτικὴν αἰτίαν τῶν γενομένων τὸν Πατέρα· τὴν δημιεργικὴν τὸν Υἱὸν, τὴν τελειωτικὴν τὸ Πνεῦμα, ὥσε δῆλον ὅτι ὁ Θεὸς καὶ Πατὴρ καθὸ αἰτία καὶ ἀρχὴ, ἦγεν ποιητικὴ, ἐσὶ τᾶ παντὸς, καὶ ὁ Υἱὸς καὶ τὸ Πανάγιον Πνεῦμα κοινωνεῖ· καθὸ δὲ αἰτία καὶ ἀρχὴ τῶν ἐξ αὐτᾶ, τετέσι τῶν ἐκ τῆς ἐσίας αὐτᾶ κατὰ φύσιν ἀχρόνως, καὶ ἀπαθῶς, καὶ συναϊδίως προελθόντων· καὶ οἷον, εἰπεῖν, πηγὴν ὄντα τὸν Θεὸν καὶ Πατέρα, καὶ ὡς ἐκ πηγῆς ἐκεῖθεν ἐνυποστάτως πηγάζοντα ἐ δημιεργικῶς, ἄπαγε τῆς ἀσεβείας, ἀλλὰ τὸ μὲν, ὡς γέννημα, τὸ δὲ ὡς πρόβλημα· διαζέλεται δὲ καὶ διακέκριται τᾷ Υἱᾷ καὶ τᾷ Πνεύματος, διὰ τὸ ταῦτα αἰτιατῶς τὸ εἶναι ἐξ αὐτᾶ ἔχειν, τὸ μὲν, γεννητῶς, τὸ δὲ ἐκπορευτῶς, τὸν δὲ Θεὸν καὶ Πατέρα ἀναιτίως τὸ εἶναι ἔχοντα καὶ ἀχρόνως· εἰ ἓν κατὰ τᾶτο δέδοκται τοῖς καλῶς καὶ εὐσεβῶς νοεῖν ἐθέλεσι περὶ τῶν Θεαρχικῶν ὑποστάσεων, τὸν Πατέρα, καθὸ αἰτία, καὶ ἀρχὴ φυσικὴ τᾷ Υἱᾷ καὶ τᾷ Πνεύματος ἐσὶν, ἀντιδιαζελόμενον, καὶ διαιρέμενον, ἵν' ἔτως εἴπω, ἀδιαιρέτως, ἐκ ἐγχωρεῖ κατὰ τᾶτο κοινωνεῖν τᾷ Υἱᾷ καὶ τᾷ Πνεύματι· εἰ γὰρ ὥσπερ ἐν οἷς κοινωνεῖ τᾷ Υἱᾷ, καὶ τᾷ Πνεύματι, ἃ πέφυκε διαζέλεσθαι καὶ διαχωρίζεσθαι, ἕτωσι καὶ καθὸ τὴν διάκρισιν καὶ συσολὴν ἔχει πρὸς τὸν Υἱὸν, καὶ τὸ Πνεῦμα τὸ Ἅγιον, ἀδύνατον κατὰ ταὐτὸ ἐπικοινωνεῖν, εἰ ἓν ταῦτα ἀληθῆ ἀποδέδεικται, ἀδύνατον τὸν Υἱὸν αἴτιον εἶναι τᾶ Πνεύματος, ἵνα ᾖ ἐξ αὐτᾶ ἐκπορευτῶς, καθὰ καὶ ἐκ Πατρὸς· ἐπεὶ συμβαίνει καθ' ὃ ὁ Θεὸς καὶ Πατὴρ διακέκριται, κατὰ τᾶτο πάλιν ἐπικοινωνεῖν, ὅπερ ἐσὶ πάντη ἀδύνατον καὶ ἀνακόλεθον· καὶ τὴν ἀντίφασιν συναληθεύειν τὸ αὐτὸ κατὰ τὸ αὐτὸ ἡνωμένον, καὶ διακεκριμμένον, ὅπερ ἐσιν ἀνακόλεθον ἐπίτινος τῶν ὄντων ταῦτα λέγειν, μήτοιγε ἐπὶ τῶν Θεαρχικῶν ὑποστάσεων· ἐκ ἄρα τὸ Πανάγιον Πνεῦμα καὶ ἐκ τᾶ Υἱᾶ ἐκπορεύεται, καθὼς καὶ ἐκ τᾶ Πατρὸς.

ΚΕΦΑΛΑΙΟΝ ιγ'.

Ἔτι, εἰ πᾶσι μὲν τοῖς ἀοιδίμοις Πατράσιν ἐκ τῶν λογίων καὶ τῶν κοινῶν περὶ Θεᾶ ἐννοιῶν ἀναλεγομένοις ὁμολόγηται· ὅτι ἓν μὲν ἐπὶ τῆς Θεαρχικῆς Τριάδος κατάτε Φύσιν καὶ ἐσίαν μοναχῶς ἐξαγγέλεται, διὰ τὸ μίαν καὶ τὴν αὐτὴν Θεότητα, ὁμοιοτρόπως, τετέσιν, ἀνελλειπῶς ἐν Θεῷ Πατρὶ, καὶ ἐν Θεῷ μονογενεῖ, καὶ Θεῷ Ἁγίῳ Πνεύματι θεωρεῖσθαι· διὰ τᾶτο καὶ μοναρχίαν μίαν εἶναι πιστεύοντες δογματίζεσιν· „ὡσαύτως δὲ καὶ μόνος γεννήτωρ ὁ Πατὴρ καὶ προβολεὺς καὶ Κυρίως, καὶ ἓς μονογενὴς Υἱὸς καὶ Κύριος καὶ μόνος, καὶ ἓν Πνεῦμα Ἅγιον Κυρίως ἢ αὐτὸ μοναδικῶς ἐξαγγελόμενον, δι' ἑνὸς Υἱᾶ τῷ „ἑνὶ Πατρὶ συναπτόμενον, καὶ δι' αὐτᾶ ἀναπλη„ρᾶν τὴν πολυύμνητον καὶ μακαρίαν Τριάδα· ὁ „καὶ τὴν πρὸς Θεὸν Πατέρα, καὶ Υἱὸν οἰκείωσιν, „ἱκανῶς ἐμφαίνει τῷ μὴ ἐν πλήθει τῆς κτίσεως τε „τάχθαι, ἀλλὰ μοναδικῶς ἢ αὐτὸ ἐκφωνεῖσθαι· ἐ „γὰρ ἓν τῶν πολλῶν ἐσὶν, ἀλλ' ἓν ἐσιν, ὡς ἓς Πατὴρ, „καὶ ἓς Υἱὸς, ἢ ἓν Πνεῦμα Ἅγιον· κἂν γὰρ δέον „συναριθμῆσαι, ἐχὶ ἀπαιδεύτως συναριθμήσει „πρὸς πολυθείας ἔννοιαν ἐμφέρονται· ἐ γὰρ κατὰ „ἄνθησιν ἀριθμᾶσιν· ἀφ' ἑνὸς εἰς πλῆθος ποιᾶντες „τὴν παραύξησιν· ἓν καὶ δύο καὶ τρία λέγοντες, „ἐ δὲ πρῶτον, καὶ δεύτερον, καὶ τρίτον· ἐγὼ γὰρ „Θεὸς πρῶτος καὶ ἐγὼ μετὰ ταῦτα· ἀλλὰ Θεὸν „ἐκ Θεᾶ τὸν Υἱὸν, γεννητῶς ὡς γέννημα προελ„θόντος, καὶ τὸ Πνεῦμα, ὡσαύτως πιστεύειν ἐκ„παιδεύσι· καὶ γὰρ τὸ ἰδιάζον τῆς ὑποστάσεως „ὁμολογᾶσι καὶ μένσι ἐπὶ τῆς μοναρχίας, εἰς „πλῆθος ἀπεχισμένον τὴν Θεολογίαν μὴ σκεδα„νέντες· διὰ τὸ μίαν ἐν τῷ Θεῷ Πατρὶ, καὶ ἐν „Θεῷ Υἱῷ, καὶ ἐν Θεῷ Πνεύματι Ἁγίῳ τὴν Θεό„τητα ἀπαραλλάκτως ἐνθεωρεῖσθαι, ὡς ἔφαμεν (Βασίλ. εἰς τὰ Ἀμφιλόχ. κεφαλ. ιή.) εἰ ἓν ἔτω μὲν τὴν ὀρθοτομίαν περὶ τὴν πίσιν αἱ τῶν Θεοφόρων Πατέρων διδασκαλίαι ἐκπαιδεύσι, καὶ ὁ τῆς ἀληθείας λόγος καὶ ἐξ αὐτῶν τῶν κοινῶν περὶ Θεᾶ ἐννοιῶν διδάσκει τὸ μοναδικῶς κατὰ τὴν μίαν Θεότηλα τὴν ὑπερέσιον Τριάδα ἐξαγγέλεσθαι, ὡσαύτως γεμὴν ἢ κατὰ τὰς ἰδιότητας, ἦγεν τὰς ὑποστάσεις· τὸ δὲ μοναχῶς ἐξαγγελόμενον καθὸ μοναδικῶς ἢ ἰδικῶς, τὸ πολλαχῶς ἢ κοινῶς ἀπαναίνεται, ἵνα μὴ συμβῇ τὸ αὐτὸ καλεῖ τὸ αὐτὸ ἓν εἶναι ἢ πολλὰ, ἢ ἴδιον ἢ ἐκ ἴδιον ἀλλὰ κοινὸν, ἢ τὴν ἀντίφασιν συναληθεύειν, ἢ σύγχυσιν ἐν τοῖς πράγμασιν ἐμποιεῖν· ὁ δεγε δοξάζων τὸ Πνεῦμα καὶ ἐκ τᾶ Υἱᾶ ἐκπορεύεσθαι, καθὼς καὶ ἐκ τᾶ Πατρὸς, τὸν Πατέρα ποιεῖ μὴ μοναχῶς καὶ ἰδίως ἐξαγγέλεσθαι, ἀλλὰ κοινὸν λέγει τᾷ Υἱᾷ· ὅθεν καὶ μὴ μόνον εἶναι, ὅπερ ἐσι, διὰ τὸ λέγειν κοινὴν εἶναι τὴν προβολὴν Πατρὸς καὶ Υἱᾶ, τᾷ Πνεύματος· τὸ δὲ ἔτως τὰς ἰδιότητας κινεῖσθαι, ἀπαρνεῖσθαι ἐσὶν· ὅπερ ἐσι καὶ τὴν αντίφασιν συναληθεύειν· καὶ τὸ αὐτὸ κατὰ τὸ αὐτὸ ἴδιον καὶ ἐκ ἴδιον, ἡνωμένον καὶ διακεκριμένον καταφάσκει· εἰδὲ ἔτω φρενεῖν καὶ λέγειν ἐξεπικότων καὶ μανομένων καταπολὺ χεῖρον ἐσι, καὶ μέγισον ἀπωλείας βάραθρον τοῖς πειθομένοις προξενεῖ· φανερὸν ἄρα ὅτι τὸ Πνεῦμα τὸ Ἅγιον ἐκ ἐκ τᾶ Υἱᾶ πρόεισι, καθὼς ἐκ τᾶ Πατρὸς.

ΚΕΦΑΛΑΙΟΝ ιδ'.

Ἔτι, εἰ πᾶσι μὲν τοῖς τὰ Θεῖα δόγματα καλῶς ἐξασκήσασιν ἀναμφίβολον καὶ ἀνατίῤῥητον πρόσεσιν, ὅτι πᾶν, ὃ ἐπὶ τῆς ζωαρχικῆς Τριάδος τῆς καὶ παντεργὲ ὁμοιοτρόπως θεωρεῖται, ἢ κοινῶς τῶν τριῶν κατηγορεῖται, ἢ ἰδίως ἐπὶ μιᾶς λέγεται· ἡ δὲ προβολὴ, ὁμοιοτρόπως κατὰ τὴν αὐτὴν ἐκπόρευσιν ἐπὶ τῆς Ζωαρχικῆς Τριάδος λεγομένη ἐκ ἔσι κοινὴ, μιᾶς ἂν ἓη πάντως· εἰδὲ τᾶτο, πότερον τᾷ Πατρὸς εἶναι φήσεσι μόνᾳ, ἢ τᾷ Υἱᾷ; ἀλλ' εἰ μὲν τᾷ Πατρὸς, ἰδὲ κἂν μὴ βάλωνται, τὴν οἰκείαν δόξαν ἀπαρνήσονται·

ται· εἰδὲ τῷ Υἱῷ, φεῦ τῆς δυσσεβήματος· ὅτι τε τῷ Πατρὸς ταύτην ἀφαιρῆσι, καὶ τῷ Υἱῷ προσάπτησιν· οἷς ἐξαναγκης ἕψεται καὶ τὰ ἄλλα ἴδια εἰς ἄλληλα μεταχωρεῖν καὶ μεταπίπτειν· διὰ τοῦτο σύγχυσις παντελὴς καὶ ἀταξία ἐν Θεότητι τῇ ἁγίᾳ Τριάδι, μεταχωρέντων καὶ μεταπιπτόντων τῶν ἰδιωμάτων· εἰδὲ ταῦτα πάσης ἀσεβείας ἐστὶ λέγειν ἐπάξια, ἐκ ἄρα τὸ Πνεῦμα τῆς Υἱοῦ ἐκπορεύεται. ὡς ἐκ τῆς Πατρὸς, καθὼς τινες φασί.

ΚΕΦΑΛΑΙΟΝ ιε'.

Ἔτι, εἰ ἐπὶ τῆς Ζωαρχικῆς καὶ Παντεργῆς Τριάδος δύο θεωρῆνται, Φύσις καὶ ἰδιώματα συνιστῶντα μίαν ἑκάστην τῶν Θεαρχικῶν ὑποστάσεων· ἡ δὲ Φύσις ἐνοῖ τὸν Πατέρα καὶ τὸν Υἱὸν καὶ τὸ Ἅγιον Πνεῦμα, καὶ ἕνα Θεὸν τὰ τρία δείκνυσι, φανερὸν ὅτι αἱ ἰδιότητες τὴν διαίρεσιν καὶ τὴν διαζολὴν ἐμφαίνεσι· δι' ὧν καὶ μόνον ἡ τριὰς, τριὰς ἔναι ταῖς ἰδιότησι πιστεύεται· ἡ δὲ προβολὴ ἰδιότης ἔσα τῆς Πατρικῆς ὑποστάσεως, κατὰ τὲς λέγοντας τὸ Πνεῦμα καὶ ἐκ τῆ Υἱῆ ἐκπορεύεθαι, καθὼς καὶ ἐκ τῆ Πατρὸς, κοινὴ ἔσα· εἰδὲ κοινὴ, ἐκ ἰδίου ὑποστάσεως· εἰδὲ μὴ ἴδιον, κοινὸν ἔσα· τὸ δὲ κοινὸν τῆς Πατρικῆς ὑποστάσεως, ἡ Φύσις ἔσα τῷ Θεῷ καὶ Πατρὸς· ἢ τὶ τῶν τῇ Φύσει ἑπομένων· συνάγεται ἄρα κατὰ τὸν δι' ἐναντίας λόγον ὅτι ἡ προβολὴ κοινὴ ἔσα Πατρὸς καὶ Υἱῆ, ἡ Φύσις ἔσα τῆ Πατρὸς καὶ Υἱῆ· ἢ τὶ τῇ Φύσει αὐτοῖς ἑπόμενον· εἰδὲ τοῦτο, κοινὸν ἔσα καὶ τοῦ Πνεύματος· καὶ ἔσα πάλιν τὸ Πνεῦμα αὐτὸ ἑαυτὸ προβαλλόμενον, καὶ αὐτὸ ἑαυτῆ αἴτιον, καὶ αἰτιατὸν, ἢ ἑτέραν ὑπόσασιν προβαλεῖται· καὶ ἐ μόνον ταυτὶ τὰ δύσφημα, ἀλλ' ἢ καὶ ταυτὸν ἔσα Φύσις καὶ ὑπόσασις, ἔπερ ἡ προβολὴ ἰδίωμα τῆς Πατρικῆς ὑποστάσεως ὂν, συνήχθη κατὰ τὸν λόγον τὸν δι' ἐναντίας ὡς κοινὸν ὂν Πατρὸς καὶ Υἱῆ Φύσις ἔναι, ἢ τὶ τῶν τῇ Φύσει παρεπομένων· εἰδὲ εἰς τοσῆτον ἐσμὸν ἀσεβειῶν ὁ λόγος αὐτῶν ἀποφέρεται διὰ τὸ ἀλόκοτον τῆς δόξης· ἐκ ἄρα τὸ Πνεῦμα ἐκ τῆ Υἱῆ προέρχεται, καθὼς καὶ ἐκ Πατρὸς.

ΚΕΦΑΛΑΙΟΝ ις'.

Ἔτι, εἰ τὰ κοινὰ ἀνάγκη καταπλεόνων κατηγορεῖθαι, καὶ τὰ ἴδια δηλονότι καθ' ἑνὸς· ἢ μάλιστα ὅταν μοναχῶς καὶ ἰδίως ἐξαγγέλεθαι πέφυκεν τῷ ἔχοντι, τὸ ἑτωσὶ ἴδιον, οἷον, ὁ Πατὴρ, μοναχῶς ἐξαγγέλεται· καὶ ἐς Πατὴρ καὶ Κυρίως λέγεται, διὰ τὸ ἔχειν ἀμετακίνητον τετὶ τὸ ἴδιον· ὡσαύτως δὲ καὶ ὁ Υἱὸς καὶ τὸ Πνεῦμα τὸ Ἅγιον μοναχῶς ἐξεγγέλονται, διὰ τὸ ἔχειν τὸ ἑτωσὶ ἴδιον ἀμετάπτωτα· ὅθεν καὶ μονογεννῆ Υἱὸν φαμὲν τὸν Κύριον ἡμῶν Ἰησῆν Χριστὸν· καὶ ἐς Υἱὸς ἐστι καὶ Κυρίως καὶ μόνος· τὸ δέγε μὴν Πνεῦμα καὶ αὐτὸ πάλιν ἓν Πνεῦμα Ἅγιον καὶ Κυρίως καὶ μόνον· εἰδέγε ἐστὶν ἡ προβολὴ τῆ Πατρὸς, ἥτις ἐστιν ἰδίωμα τῆς Πατρικῆς ὑποστάσεως, κοινὴ τῆ Υἱῆ, ἔσα ἄρα τὸ ἴδιον κοινὸν· καὶ τὸ καθ' ἑνὸς, κατηγορέμενον κατὰ πλειόνων· καὶ διὰ τοῦτο κοινὸν, καὶ ἐ κοινὸν, ἴδιον, καὶ ἐκ ἴδιον· καὶ ἡ ἀντίφασις πάλιν συναληθεύσει· εἰδὲ τὸ ἑτως λέγειν πρὸς τῷ ἀδυνάτῳ καὶ τὸ βλάσφημον ἔχει, ἐκ ἄρα τὸ Πνεῦμα ἐκ τῆ Υἱῆ ἐκπορεύεται, καθὼς καὶ ἐκ τῆ Πατρὸς.

ΚΕΦΑΛΑΙΟΝ ιζ'.

Ἔτι, εἰ πᾶν ὁ ἐπὶ μιᾶς ἑκάσης τῶν Θεαρχικῶν ὑποστάσεων λέγεται, ἐ λέγεται ἐπ' αὐτῆς μᾶλλον καὶ ἧττον· τὸ δὲ αἴτιον καὶ ἡ ἀρχὴ κατηγορεῖται τῆς Πατρικῆς ὑποστάσεως, ἐκ ἔσα ὁ Πατὴρ μᾶλλον αἴτιος τῆ ἶναι τῆ Υἱῆ γεννήτωρ, ἢ τῆ ἶναι προβολεὺς τῆ Πνεύματος· τῆς δὲ ἰδιότητος ἦγουν τῆς (ἴσως Πατρότητος) προβολῆς καθὸ ἐστὶ γεννήτωρ τῆ Υἱῆ, ἐ μεταδίδωσι τῷ Υἱῷ, ἵνα καὶ αὐτὸς ἀναφανῇ Πατὴρ, καὶ μὴ ἔστιν ἓς Θεὸς καὶ Πατὴρ ἐν Τριάδι, καὶ Κυρίως λεγόμενος· ἐκ ἄρα ἐ δὲ καθὸ προβολεὺς καὶ αἴτιος χρηματίζει τῆ Πνεύματος ὁ Πατήρ, δώσει τῷ Υἱῷ, ἵνα μὴ μᾶλλον καὶ ἧττον αἴτιος ἀναφανῇ ὁ Θεὸς τῆ Υἱῆ, ἥπερ τῆ Πνεύματος· εἰδεμὴ ἀναισχυντότερον ὁ δι' ἐναντίας ἐνίσαται, φαμὲν πρὸς αὐτὸν, τὶς ἡ ἀποκλήρωσις, ἵνα ὁ Θεὸς καὶ Πατὴρ αἴτιος καὶ ἀρχὴ ὁμοίως χρηματίζων Υἱῆ καὶ Πνεύματος

ματος, τῷ μὲν μεταδίδωσι τὴν προβολὴν· τὴν δὲ Πατρότητα ἐ μεταδίδωσιν· εἰδὲ ἐδέν ἐστιν ἐπὶ μιᾶς τῶν Θεαρχικῶν ὑποσάσεων κατὰ τὸ μᾶλλον καὶ ἧττον λεγόμενον· ἐδὲ καινοτομία τὶς ἐν τῇ παντοκρατορικῇ καὶ ὑπερσίῳ Τριάδι, φανερὸν ἄρα ὅτι ὁ Θεὸς καὶ Πατὴρ, μόνος ἐστιν αἴτιος τῆ Πνεύματος προβολεὺς, καθὸ καὶ γεννήτωρ μόνος τῆ Υἱῆ.

ΚΕΦΑΛΑΙΟΝ ιή.

